ὁ δὲ δάκτυλός ἐστιν ὅσον τὸ πλάτος τεσσάρων κόκκων κριθῆς παρατιθεμένων οὐ κατὰ μῆκος ἀλλὰ κατὰ πλάτος. σὺ δὲ ὅρα τὴν ἀκριβολογίαν τῶν γεωμετρῶν, ὅτι κόκκῳ κριθῆς τὴν γῆν καταμετροῦσι, συμβαίνει δὲ οὐχ ὁμοίαν εἶναι πᾶσαν κριθὴν τῷ ὄγκῳ, ὅθεν καὶ πρὸς ἀλλήλους διαφωνοῦσιν οἱ γεωμέτραι περὶ μήκους καὶ πλάτους καὶ ὅλου γύρου γῆς μέτρα τιθέμενοι, ψευδομένης κἀν τούτῳ τῆς ἑλληνικῆς τερατολογίας. εἰσὶ δὲ καὶ ἕτερα μέτρα, οἷς ἐχρῶντο τὸ πάλαι. οἷόν ἐστι τὸ παρ' Ἰταλοῖς λεγόμενον κόνβιλον, ὅπερ ἦν ἑνὸς καὶ ἡμίσεος ποδός, καὶ τὸ παρ' Ἕλλησι βῆμα, παρ' Ἰταλοῖς δὲ γρέσσο, ὅπερ ἦν δύο ποδῶν καὶ ἡμίσεος,

τὸ πλέθρον, ὅπερ ἐστὶ ποδῶν ἑκατόν,

ὁ δίαυλος ἔχων σταδίους δύο,

ὁ δόλιχος, ὃς ἦν στάδια δώδεκα, ἕτερος δέ φησιν εἰκοσιτέσσαρα,

ὁ σχοῖνος, ὃς ἦν ἑξήκοντα στάδια, καὶ τοῦτο μέτρον γεωμετρικόν, ἐξ οὗ καὶ τὰ μετρούμενα τῶν χωρίων σχοινίσματα λέγονται, ὅθεν καὶ ὁ προφήτης· τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας.

καὶ ὁ παρασάγγης, τοῦτο δὲ περσικὸν γῆς ἐστι μέτρον, στάδια δέ εἰσι τριάκοντα.

ὁ δὲ σταθμὸς τὸ μέγιστόν ἐστι γῆς μέτρον. δηλοῖ δὲ ποτὲ μὲν τὰς ἐνοδίους ἀναπαύλεις τοὺς κοινῶς ἢ τουρκικώτερον καρβασαράδας λεγομένους, ὅς εἴ τις εἴποι στάσιν ἢ μονὴν τοῖς εἴτε ἱπποῦσιν εἴτε πεζοδρόμοις. ἐλέγετο δὲ καὶ ἀλλαγὴ διὰ τὸ ἐκεῖσε οἶμαι τοὺς βασιλικοὺς ταχυδρόμους τοὺς ἵππους ἀλλάσσειν, ἵν' ἀκμαιότερον ἅπτονται τοῦ δρόμου. ποτὲ δὲ ἢ καὶ μᾶλλον τὸ τοπικὸν διάστημα σημαίνει, ὡς ὅτε ἐκ τοῦδε τοῦ τόπου ἐς τόνδε σταθμοὶ τοσοῦτοι λέγονται. οὗτος δὲ ὁ σταθμὸς ἡμερήσιος νῦν δρόμος λέγεται. οὕτω γὰρ τοσοίδε σταθμοὶ ὁδευθῆναι πρός τινων λέγονται, ἅπερ νῦν ἡμεῖς καὶ κονάκιά φαμεν. ἔστι δὲ ὁ σταθμὸς στάδια 224, μίλια 28.



**I.5**

a) Τὸ μπράτσο (vel πράτσο) εἶναι κάρτες δ'.

b) Τὸ μοδόπουλον πήχεις κτιστικὲς λε' ὁλόγυρα, τὸ σχοινὶ ι' σημάδια ἔνι, τὸ σημάδι γ'c'' πήχες.

c) Ὀφείλει δὲ ἔχειν τὸ μῆκος τοῦ σχοινίου τῆς μέτρας, καθὼς τὸ ἔταξαν, κάννας ις'γ''.

d) Ἐὰν τὸ ω'' τῆς σπιθαμῆς εἰς νόμισμα δ'', ἡ μία σπιθαμὴ τί θέλει; λύσιν· τὸ ω'' τῶν κδ' ἔνι κούκα ις' καὶ τὸ δ'' κούκα ς' καὶ ἡ σπιθαμὴ κούκα κδ' καὶ εἰπέ· ἐὰν τὰ ις' γίνονται ς', τὰ κδ' τί θέλουν γένειν; πολυπλασίασον τὰ ς' μετὰ κδ' καὶ γίνονται ρμδ', καὶ ὕφειλε αὐτὰ ἐπὶ τῶν ις' καὶ γίνονται θ', καὶ ἰδέ, τὰ θ' τί μέρος ἔνι εἰς τὰ κθ', καὶ ἔνι δ''η'', λοιπὸν τυγχαίνει ἡ σπιθαμὴ νόμισμα δ''η''. ἐπὰν δὲ εὑρήσῃς τὴν σπιθαμήν, ἰδὲ τί θέλει ἡ κάννα, καὶ τυγχαίνει ἡ κάννα νομίσματα γ', ἤγουν τὸ δ'' τῶν η' ἔνι β' καὶ τὸ η'' ἕν.

e) Τὸ χωράφιον ... διὰ πήχεος μετρηθὲν τριακοντατεσσάρων οὔσης γρονθῶν ...

f)... καὶ γίνεται οὐργιῶν βασιλικῶν δέκα, χειροσπιθαμῶν ὀγδοηκονταπέντε.

g)... τὸ δὲ βεργὶν ἔχον σπιθαμὰς ἀνδρῴας ι'.

h)... qui locus summat passus ducentos viginti septem de X palmis pro quolibet passu.

## *II. Texte vorwiegend über Flächenmasse, ebene Geometrie und Geodäsie*

**II.1**

Π ε ρ ὶ μ έ τ ρ ο υ γ ῆ ς.

Τὸ ἰοῦγον ἔχει ἀρούρας ε', σατιαίας λ'.

ἡ ἄρουρα ἔχει σάτα ς', ἔχει δὲ εἰς μῆκος πήχεις ρλ<γ'γ''>

---

3 γ' c'' ] ÷ ed. - 19 ὀγδοηκονταπέντε ] ἐγδοηκονταπέντε ed. - 23 μέτρου ] X, λίετρων K - 24 in marg. X περὶ ἰούγγων καὶ πλέθρων καὶ ἀρούρων - ἰοῦγον ] K, ἰοῦγγον X - σατιαίας ] X, σατίαις K

καὶ εἰς τὸ πλάτος ὡσαύτως· ἔστιν ἡ ἄρουρα πλάτους πηχῶν ρλ<γ' γ''>.
τὸ πλέθρον ἔχει εἰς μῆκος πήχεις κϛ' καὶ εἰς τὸ πλάτος ὡσαύτως.
ἔχει ἡ σατιαῖα καβιαίας ϛ'.
κοριαῖα τὸ ἰοῦγον λέγεται· σατιαίων λ'. ἔχει δὲ ἡ κοριαῖα ἰούγερα μικρὰ ιγ'.
ἀροτριᾷ τὸ ζεῦγος τῶν βοῶν τῆς ἡμέρας σατιαίας β'c''.
ὁ πῆχυς ἔχει δακτύλους κδ'.
ἡ παλαιστὴ ἔχει δακτύλους δ'.
ἡ σπιθαμὴ ἔχει δακτύλους ιβ'.
ὁ ποδισμὸς ἔχει δακτύλους ιϛ'.
τὸ λεπτόν ἐστι δακτύλου τὸ c''.
τὸ μίλιον ἔχει στάδια ζ' c''.
ἡ λίτρα ἔχει οὐγγίας ιβ', γράμματα σπη'.

## II.2

### Περὶ ἀρούρας.

Ἄρουρά ἐστι μέτρον γῆς. ἄρουρα τοίνυν παχὺ μέρος καὶ γενικῶς πᾶσα γῆ καλεῖται· ἐὰν γὰρ εἴπῃς ποάζειν ἡ ἄρουρα πᾶσαν τὴν γῆν ὁμοθυμαδόν, λέγεις χλωρὰν ἣν τοῖς βλαστήμασιν. ἀλλὰ καὶ μέτρον γῆς ἐστι πάλιν ἄρουρα. ἔστι δὲ τοῦτο τὸ μέτρον αἰγύπτιον. ἐν ἀρούρᾳ γὰρ μετροῦσιν οἱ Αἰγύπτιοι πᾶσαν τὴν γῆν αὐτῶν. ἔχει δὲ ἡ ἄρουρα τῷ μέτρῳ τοῦ καλάμου τῷ ἔχοντι πήχεις ϛ' καὶ δίμοιρον, ὃ καλεῖται παρὰ γεωμέτραις ἄκαινα, κ' ἐπὶ κ'. ε' γὰρ πλέθρων ἐστὶν ἡ ἄρουρα τῆς πρωτείας γῆς, ϛ' δὲ πλέθρων ἡ δευτέρας γῆς.
τὸ δὲ πλέθρον κ' ἐπὶ κ' ἀκαίνας ἔχει τῷ μέτρῳ τοῦ καλάμου,

1 καὶ] K, τὸ πλέθρον οὕτως καὶ X - πλάτους] πλάτ X, om. K - πηχῶν] K, πήχεις X - 5 σατιαῖα καβιαίας] σαταῖα καβιαίας X, σατ' βα καβίσας K - 6 κοριαῖα[1]] X, κορίβα K - σατιαίων] σαταίων X, σατίβων K - κοριαῖα[2]] κουρία K, κορία X - 7 ἰούγερα] K, ἰούγγερα X - 8 σατιαίας] σαταίας X, σατίβας K - 10 ἡ παλαιστὴ] X, ὁ παλαιστὴς K - δ'] ᾱ K, ια' X - 11 ιβ'] K, ϛ' X - 13 λεπτὸν] X, πλέτον K - 15 ἡ ... σπη'] K, om. X - 17 ἐστι] ἐστιν R - 18 γὰρ... ποάζειν] R, εἰ τις πρόξει h - 19 λέγεις...ἣν] h, λέγω χλωραίνουσαν R - 20 γῆς ἐστι] R, ἐστὶ γῆς h - 22 πᾶσαν] R, om. h - 24 ἄκαινα] R, ἄκενας h - 25 ϛ'] h, καὶ R - δευτέρας] δευτέρα Rh - γῆς] R, γῆ h



ὅπερ παρὰ Παλαιστινοῖς καὶ Ἄραψιν σατιαῖα καλεῖται.

## II.3

### Μέθοδος τῆς γεωμετρίας.

Ἡ πρώτη ποιότης τῆς γῆς ἐστιν ἡ μελίγαλος γῆ, ἥτις παρὰ πᾶσαν τὴν γῆν ἐπαινουμένη. τῆς οὖν μελιγάλου ταύτης καὶ λιπαρᾶς, ποταμιαίας καὶ πυρογαίου, μαυρογαίου τε καὶ βαθυγαίου ταύτης <ὀφείλεις> ἐν ἴσῳ μέτρῳ μετρᾶν καὶ πιπράσκειν τῷ νομίσματι γῆν μοδίου ἑνός. τὴν δὲ ὑπόποτον καὶ ὑποψαμμίζουσαν, τραχεῖάν τε καὶ ἀμμώδη λογίζου ὡς δευτέρας ποιότητος, καὶ ὀφείλεις πιπράσκειν τῷ νομίσματι μόδια δύο. τὴν ἀλσώδη καὶ πάντη ἄχρηστον, νομαδιαῖάν τε οὖσαν καὶ οὐ λιβαδιαῖαν ἀλλὰ πετρώδη ὀφείλεις πιπράσκειν τῷ νομίσματι γῆν μοδίων τριῶν.

Πρόσχες δὲ ἀκριβῶς, ὅταν ὀφείλῃς μετρῆσαι κατὰ περιορισμὸν ἢ χωρίον ἢ τόπιόν τινα ἢ χωράφιον, κἂν τάχα στρογγύλον οὐκ ἔστιν οὔτε μὴν τετράγωνον οὔτε πάλιν τρίγωνον, ἀλλὰ ποτὲ μὲν ἀναβαίνει, ποτὲ δὲ καταβαίνει καὶ διέρχεται εἰς ῥυάκια καὶ ἀλσώδεις τόπους, κρημνώδεις τε καὶ πετρώδεις καὶ κακούργους, ὀφείλει εἶναι τὸ τοιοῦτον σχοινίον τοῦ περιμέτρου ἤγουν τοῦ τοιούτου περιορισμοῦ δωδεκαούργιον. καὶ εἰσελθὼν περιόρισον τὸν τόπον καὶ ὅσα σχοινία εὑρεθῶσιν ἔσωθεν τούτου, ἅπαντα ἑνώσας ἀποδεκάτωσον ταῦτα, ὑφεξαιρῶν κατὰ δέκα σχοινία σχοινίον ἓν εἰς τύπον τῶν σκοπέλων, ῥυακίων καὶ κακεργίου, καὶ τὸ καταλειφθὲν τετραγώνισον κατ' ἰσότητα. εἶθ' οὕτως διώξας τὸ ἥμισυ τῶν σχοινίων, τὰ δὲ ἕτερα ἡμίση ποίησον μέρη δύο μῆκος καὶ

1 σατιαῖα] σαταῖον R, σατιαῖαν h - 3 γῆ, ἥτις] d, ἡ C- 4 τῆς οὖν] d, ἥτις καὶ τὸν ὑετὸν βαστάζει τῆς C - ταύτης] d, om. C - 5 ποταμιαίας] d, τῆς ποταμίας C - καὶ πυρογαίου] d, τῆς πυριγαίου καὶ C - τε] d, om. C - 6 βαθυγαίου] d, βαφυγαίου C - ταύτης] d, ταύτας C - 6-7 ἐν...ἑνός] d, μετρᾶ ἐπὶ ἰσότητι μέτρου μίᾳ C - 7 ὑπόποτον] d, ὑποπόταμον C - 8 ὑποψαμμίζουσαν] d, ὑποψαμιζομένην C - τραχεῖάν τε] d, τὴν τραχαίαν C - 8-9 λογ. ... ποιότ.] d, μετρᾶ ὡς δευτέραν ποιότητα C - 9-12 καὶ ... τριῶν] d, ἡ πρώτη ποιότης τῆς γῆς ἔχει ὁμοῦ τὰς οὐργίας σ', ἡ δέ δευτέρα σπ', ἡ δέ τρίτη σπη' c'' καθὼς παρέδωκαν οἱ παλαιοί C - 9 ὀφείλεις] ὀφείλῃ d - 18 κακούργους] κακουργῶν d

πλάτος, καὶ ἐρώτησον τὸ μῆκος πρὸς τὸ πλάτος ἢ τὸ πλάτος πρὸς τὸ μῆκος, καὶ ὅσα σχοινία ἀναβιβασθῶσιν, εἰ μέν ἐστι τὸ περίμετρον διὰ σχοινομετρίου, πάλιν ὀφείλεις μετὰ τὴν ἐρώτησιν τοῦ μήκους καὶ τοῦ πλάτους διῶξαι ἐκ τοῦ ποσοῦ τὸ ἥμισυ, καὶ τὰ καταλειφθέντα ἡμίση ἐκεῖ ἐστιν ὁ μοδισμὸς τοῦ περιορισθέντος τόπου.

Ἐπὶ δὲ τῶν οὐργιῶν οὐχ οὕτως ὀφείλεις κόψαι δισσῶς ὡς καὶ ἐπὶ τῶν σχοινίων ἀλλ' ἅπαξ. καὶ πῶς, ἄκουσον· ἀφ' ὅτου μετρήσεις τὸ χωράφιον ἢ τὸ ἀμπέλιον ἢ ἄλλο τι μετὰ τῆς οὐργιᾶς τὰς συναχθείσας ἁπάσας οὐργίας τοῦ περιμέτρου οἱουδήτινος τόπου ἐκ τῶν τεσσάρων μερῶν ἀνατολῆς, δύσεως, ἄρκτου καὶ μεσημβρίας, κόπτε μὲν τὴν ὁμάδα τῶν ἀμφοτέρων, τὰς δὲ περιλειφθείσας ἑτέρας ἡμισείας ἀπὸ τοῦ ποσοῦ ποίησον μοίρας δύο· πλάτος καὶ μῆκος, καὶ ἐρώτησον πρὸς ἄλληλα τὸ μῆκος πρὸς τὸ πλάτος, καὶ τὸ ἀναβιβασθὲν ποσὸν ὡς ἐκ τῆς τοιαύτης ἐρωτήσεως οὐ δεῖ κόπτειν μὲν ὡς καὶ ἐπὶ τοῦ σχοινισμοῦ, ἀλλ' ἐᾶν ταύτας καὶ ποιεῖν τὸν μοδισμόν. καταλογίζειν ὀφείλεις τὰς διακοσίας οὐργίας γῆν μοδίου ἑνός.

Ὅταν δὲ ὀφείλῃς μετρῆσαι ὕπεργον γῆν, σπόριμόν τε καὶ λιβαδιαῖαν εἰς πρώτην ποιότητα, μετὰ δεκαουργίου σχοινίου ποίησον τὴν ἀναμέτρησιν, ἐχούσης μιᾶς ἑκάστης οὐργίας σπιθαμὰς βασιλικὰς ἐννέα τέταρτον μετὰ τοῦ τετάρτου τῆς χειρὸς ἢ παλαιστὰς εἰκοσιοκτὼ καὶ ἀντίχειρα· τὸν γὰρ αὐτὸν ἀντίχειρα ἐχαρίσατο ὁ βασιλεὺς τοῖς ἔχουσι δημόσιον.

Πρόσεχε δὲ ἀκριβῶς, ὅταν μετρήσῃς τόπον ἐν κατατομαῖς καὶ ποιήσῃς πέντε ἢ ἓξ μέρη καὶ ἑνώσῃς τὰ πλάτη τούτων ἰδίως καὶ τὰ μήκη τούτων ἰδίως, τριπλασίως πληθύνεται ἡ γῆ.

Ἔστω εἰδώς, ὅταν ὀφείλῃς ποιῆσαι μέτρον οὐργίας εἰς καλάμιν ἢ εἰς ξύλον, μετατίθου τοὺς δακτύλους τῶν χειρῶν σου ἀλλεπαλλήλως· τὸ γὰρ ἔσωθεν τῶν δακτύλων ὡς ἐπίστασαι καλεῖται ἀφή. καὶ εἰ μετρηθῇ οὕτως ἡ οὐργία, ὡς εἴρηται, λαμβάνει τὸ καθὲν τέταρτον δάκτυλον περισσὸν καὶ γίνεται

13 ἡμισείας] ἥμισυ d - 14 ἄλληλα] ἀλλήλας d - 23 ἀντίχειρα] ἀντίχειρος d - 25 τόπον] τὸ d



σφαλερὰ ἡ οὐργία. ἀλλὰ τῆς μετρουμένης παρὰ σοῦ ταύτης οὐργίας ἃς ὁρῶσι κατ' ἰσότητα ἀμφότερα τὰ κότζια τῶν δακτύλων σου ἤγουν τῶν δύο σου χειρῶν. καὶ οὕτως μετρηθείσης τῆς οὐργίας ἔστιν ἀκριβὴς καὶ ἀσφαλής. τοῦτο γὰρ λέγεται ἀντίχειρ, μεθ' ὃ κρατήσεις τὸ ξύλον ἢ τὸν κάλαμον τὸν εἰς τύπον οὐργίας μέλλοντα μετρηθῆναι. ἐν πρώτοις τὸν μέγαν δάκτυλον τῆς μιᾶς χειρός σου στῆσον ὄρθιον, αὐτὸς γὰρ καλεῖται ἀντίχειρ, ὡς καὶ προείπομεν, τῶν δ' ἄλλων ἁπάντων εἰκοσιεπτὰ παλαιστῶν μετρηθέντων ἄνευ τοῦ δηλωθέντος ἀντίχειρος.

Μετὰ δὲ ταύτης τῆς οὐργίας ποίησον σχοινίον δεκαούργιον. γίνωσκε δὲ καὶ τοῦτο· μὴ ἔστω τὸ σχοινίον, ὃ μέλλεις ποιῆσαι εἰς μέτρον δεκαούργιον ἢ δωδεκαούργιον, τρίχινον, διότι ἔχει τι, ὅπερ ἐστὶ δολερόν, καὶ γίνεται ἡ μέτρα ἀείποτε σφαλερά. ἐὰν γὰρ βραχὺ ἢ μερικῶς ἁπλῶς ἐν δροσίᾳ συρθῇ, αὐτίκα σφίγγει καὶ φέρει ὕφεσιν οὐργίαν μίαν, εἶτα πάλιν ξηρανθέντος καὶ ταυριζομένου γίνονται αἱ τοῦ δεκαουργίου ὡς ἐκ τῆς χαυνώσεως καὶ τοῦ τονισμοῦ οὐργίαι ια', καὶ ἀείποτε σφαλερά ἐστιν ἡ τούτου μέτρα. ἀλλὰ τὸ σχοινίον τὸ ὀφεῖλον εἶναι εἰς μέτρον ἔστω κανναβιτικόν, παχὺ καὶ στερεόν. καὶ πρότερον ποίησον κοντοπάλουκα ἔχοντος τοῦ μὲν ἑνὸς ὡς κατζίνου κάτω πλατὺ σίδηρον, ἵνα τέμνῃ καὶ σημειῶται τὴν γῆν περὶ τὸ καθὲν σχοινίον, τὸ δ' ἄλλο σίδηρον ὀξὺ εἰς πῆξιν καὶ στάσιν ἐν τῷ σημείῳ τοῦ προτέρου, ἐχόντων καὶ ἀμφοτέρων πάλων τῶν κοντίων τῶν αὐτῶν σημείων σιδηρὰ στερεὰ κρικέλλια. ἐν τούτοις ἀποδεθήτωσαν ἄκραι τοῦ σχοινίου καὶ βουλλωθήτωσαν διὰ μολυβδίνης βούλλης. ἑκάστης δὲ οὐργίας τοῦ σχοινίου κρεμασθήτω βάμμα χονδρὸν εἰς δήλωσιν τῶν οὐργιῶν. ἀλλὰ καὶ ἡ οὐργία τοῦ ξύλου ἢ τοῦ καλάμου διὰ τὸ ἀσφαλὲς ἔστω ἄνω καὶ κάτω διὰ μολυβδίνης βούλλης ἐσφραγισμένη, ὡς ἂν ἐκ τούτου τοῦ σημείου πᾶσα ἡ μηχανὴ τῶν χωριτῶν ἐκδιώκεται. εἰ γάρ εἰσιν οἱ πᾶλοι μακροί, ἔνθα τὸ τῆς μέτρας σχοινίον δεδεμένον, κλινομένου τούτου παρὰ τῶν ἑλκόντων τοῦτο λαμβάνει ἑκα-

20 παχὺ] παχὺν d - 22 πλατὺ] πλατὺν d - 23 σημειῶται] σημειοῦται d - 24 ὀξὺ] ὀξὺν d

στον σχοινίον σπιθαμὰς πέντε ἤτοι τὸ ἥμισυ τοῦ σχοινίου ἢ καὶ πλεῖον. εἰ δὲ καὶ ἀβούλλωτον τό τε σχοινίον καὶ ἡ οὐργία ὑπάρχει, λέγουσιν ἑκάστῃ ὥρᾳ οἱ χωρῖται, ὅτι κοντή ἐστιν ἡ οὐργία ἢ τὸ σχοινίον τὸ δωδεκαούργιόν ἐστιν ἐνναούργιον, καὶ φροντίζουσι τοῦτο πυκνῶς, καὶ ἴσως κατὰ τύχην εἰ εὕρωσι τὸ σχοινίον ἄχρι ἡμισείας σπιθαμῆς ἐλλεῖπον, ἀναιροῦσι καὶ ἀκυροῦσι τὴν ἅπασαν μέτραν καὶ ὡς οὐδὲ γεγονυῖαν λογίζονται.

Εἶθ' οὕτως ἀπάρξου ποιεῖν τὴν μέτραν τῆς ἀροσίμου καὶ καθαρᾶς γῆς καὶ τῶν ἀμπελώνων, ἐν οἷς οὐκ ἔστιν ἔθιμον μετρᾶσθαι τοὺς ἀμπελῶνας μετὰ καλάμου ἢ <εἰς> τάξιν χιλιάδων καὶ πλέθρων, ἀλλ' εἰς μοδισμὸν λογίζεσθαι. τῶν γὰρ ἀμπελώνων τῶν εἰς μέτρον πλέθρων καὶ χιλιάδων μετρουμένων ἄλλο ἐστὶ τὸ τούτων μέρος. καὶ ἐκεῖνον καὶ ἐν τούτοις τοῖς μέτροις ἀκριβῶς ἑρμηνεύσομεν.

Γίνωσκε δὲ καὶ τοῦτο, ὅπερ ἐστὶ τοῖς πολλοῖς ἄγνωστον. τοῦ ἑνὸς μοδίου ἡ γῆ ἔχει λίτρας τεσσαράκοντα, δέχεται δὲ περίμετρον ἐρωτούμενόν σου ὀργυιάς, ἤγουν μιᾶς ἑκάστης λίτρας οὐργίαι πέντε ἤγουν πεντάει μ'· σ', αἱ ρ' οὐργίαι δὲ λίτρας κ' ἤγουν μοδίου τὸ c'', αἱ ν' οὐργίαι λίτρας ι' ἤγουν μοδίου τὸ τέταρτον, αἱ κε' οὐργίαι λίτρας ε', μοδίου τὸ ὄγδοον.

Ἔχει ὁ ὅλος μόδιος οὐγγίας υπ', στάγια ͵βωπ',
ἤγουν μιᾶς ἑκάστης οὐγγίας στάγια ἕξ,
ἱστὸν τὸ ἓν ἐξάγιον ξυλόκοκκα κδ',
τὸ ἓν ξυλόκοκκον ἱστὸν σιτόκοκκα πέντε,
ὡς γινόμενος τοῦ ἑνὸς ἐξαγίου ὁ σταθμὸς σιτόκοκκα ρκ',
ἡ μία οὐγγία ἔχει ξυλόκοκκα ρμδ', σιτόκοκκα ψκ',
ἡ μία λίτρα ἔχει ξυλόκοκκα ͵αψκη', σιτόκοκκα ͵ηχμ',
τὸ πενταλίτριον ἔχει κοκκία χιλιάδας μγ' καὶ κοκκία σ',
τὸ δεκαλίτριον ἔχει κοκκία χιλιάδας πς' καὶ κοκκία υ',
καὶ στοιχεῖ τὸ ὅλον μόδιον ἤγουν τὰς μ' λίτρας τὸ σιτηρὸν κοκκία μυριάδας λδ' ͵εχ'.

---

6 εὕρωσι] εὕρωσιν d - ἡμισείας] ἥμισυ d - 8 λογίζονται] λογίζεσθαι d - 12 λογίζεσθαι] λογιζόμενος d



καὶ ἐμβαίνει εἰς μοδισμὸν εὐφορίας ἤτοι ἐπιτυχίας τὸ τρίτον, μέσους τὸ τρίτον καὶ ἀστόχου τὸ λεῖον πλήρους τὸ τρίτον, καὶ ἐνίσταται ὁ μόδιος τοῦ σίτου διὰ τῶν τριῶν ποιοτήτων, σταθμῶν καὶ μετρολογιῶν σιτόκοκκα μυριάδας λδ' καὶ ͵εχ', γινόμενα ἀμφότερα χιλιάδες τμε' χ'.

σχοινίον α'
σχοινία β'
σχοινία β'
σχοινίον α'

Τὸ παρὸν τόπιον εὑρέθη ἔχον πρὸς μὲν τὴν κεφαλὴν σχοινίον α', πρὸς δὲ τὸν πόδα σχοινίον ἕν, ὁμοῦ σχοινία β', τὸ ἥμισυ τούτων· σχοινίον ἕν. ὡσαύτως εὑρέθη καὶ τὸ ἓν πλάγιον ἔχον σχοινία β' καὶ τὸ ἕτερον πλάγιον ὁμοίως σχοινία β', ὁμοῦ σχοινία δ', τὸ δὲ ἥμισυ τούτων· σχοινία β'. εἶθ' οὕτως ἐρώτησον τὰ β' σχοινία τῶν δύο πλαγίων μετὰ τοῦ ἑνὸς σχοινίου τῆς κεφαλῆς καὶ τοῦ ποδὸς εἰπών· δὶς μίαν· β', τὸ ἥμισυ τῶν δύο· ἕν, καὶ ἔστιν ὁ τοιοῦτος τόπος γῆ μοδίου ἑνός.

ἡ κεφαλὴ σχοινία δ'
πλάγιον σχοινία δ'
πλάγιον σχοινία δ'
<ὁ> ποὺς σχοινία δ'


Τοῦ παρόντος τόπου εὑρέθη ἡ κεφαλὴ ἔχουσα σχοινία δ' καὶ ὁ ποὺς σχοινία δ', ὁμοῦ σχοινία η', δίωξον τὸ ἥμισυ τούτων ἤγουν τὰ δ' καὶ εἰπέ· c'' τῶν η'· δ'. ὁμοίως εὑρέθη τὸ ἓν πλάγιον ἔχον σχοινία δ' καὶ τὸ ἕτερον ὁμοίως σχοινία δ', ὁμοῦ σχοινία η', δίωξον ἀπ' αὐτῶν τὸ ἥμισυ ἤγουν τὰ δ' σχοινία καὶ εἰπέ· c'' τῶν η'· δ'. εἶθ' οὕτως ἐρώτησον τὰ δ' σχοινία τῆς κεφαλῆς καὶ τοῦ ποδὸς μετὰ τῶν κάτωθεν σχοινίων τῶν δύο πλαγίων εἰπὼν οὕτως· δ' δ'· ις', κόψον τὸ ἥμισυ οὕτως· ἥμισυ τῶν ις'· η', καὶ ἔστιν ὁ τοιοῦτος τόπος γῆ μοδίων η'.

Τοῦ παρόντος τόπου εὑρέθη ἡ κεφαλὴ ἔχουσα οὐργιῶν ι', ὁ ποὺς οὐργιῶν ι', ὁμοῦ οὐργίαι κ', τὸ ἥμισυ τούτων· οὐργίαι ι', τὰ δύο πλάγια οὐργιῶν μ', τὸ ἥμισυ τούτων·

---

12 ἥμισυ] om. d






οὐργίαι κ'. καὶ ἐρώτησον τὰς ι' οὐργίας μετὰ τῶν εἴκοσι καὶ εἰπὲ οὕτως· δεκάκι κ'· σ', καὶ ἔστιν ἡ γῆ μοδίου ἑνός.

**II.4**

Ἀ ρ χ ὴ σ ὺ ν Θ ε ῷ τ ῆ ς γ ε ω μ ε τ ρ ί α ς.

Χρὴ γινώσκειν, ὅτι ἡ τῆς γεωμετρίας ἐπίνοια εὕρηται παρὰ τῶν Αἰγυπτίων. διὰ γὰρ τὸ ἐξέρχεσθαι τὸν Νεῖλον καὶ ἀρδεύειν πᾶσαν τὴν Αἴγυπτον πολλὰ χωράφια ἀπώλοντο, πολλοῖς δὲ καὶ μετὰ τὴν ἀπόβασιν οὐκ ἦν δυνατὸν γνωρίσαι αὐτοὺς τὴν ἰδίαν γῆν διὰ τὸ ὑπὸ τοῦ ποταμοῦ, καθὼς εἴρηται, ἀπολέσθαι, καὶ διὰ τοῦτο ἐπενόησαν οἱ τοιοῦτοι τὴν τοιαύτην ἐπίνοιαν. καὶ ποτὲ μὲν μετὰ τοῦ σχοινίου μετροῦσιν αὐτήν, ποτὲ δὲ καὶ μετὰ καλαμίου, καὶ διὰ τῶν τοιούτων γινώσκει ἕκαστος τὰ ἴδια χωράφια.

Ὀφείλει δὲ ἔχειν τὸ σχοινίον, μεθ' οὗ μέλλεις μετρᾶν, οὐργίας δέκα. ἡ δὲ οὐργία ὀφείλει ἔχειν σπιθαμὰς θ' δ'' ἤγουν γρόνθους ἐσφιγμένους κζ' δ''. ἑκάστη γὰρ σπιθαμὴ τρεῖς γρόνθους ἔχει. ὁ δὲ γρόνθος τρίτον ἐστὶ τῆς σπιθαμῆς, λέγεται δὲ καὶ τέταρτον διὰ τὸ τέσσαρα δάκτυλα ἔχειν. πλὴν καὶ ὁ ἀντίχειρος ἐσφιγμένος ὀφείλει εἶναι. ὅταν γὰρ ὀφείλῃς ποιῆσαι τὴν οὐργίαν σου, μέτρησον γρόνθους κς' ἐσφιγμένης τῆς χειρὸς τοῦ ἀντιχείρου σου, εἰς δὲ τὸν κζ' ὀφείλεις ἁπλώνειν τὸν ἀντίχειρον. ὁ γὰρ ἀντίχειρ τρίτον ἐστὶ τῆς σπιθαμῆς, ὅντινα ἀπεχαρίσατο ὁ βασιλεὺς κῦρ Μιχαὴλ τοῖς χωρίταις, ὅπερ ἀναβιβάζεται ὁ τοιοῦτος πολλῆς γῆς εἰς τὴν μέτρησιν.

Γίνωσκε δέ, ὅτι ὁ μόδιος ἐπαίρει λίτρας τεσσαράκοντα

8 πολλοῖς] πολλοὶ W




θαλασσίας. τοῦ μοδίου ἡ γῆ ἔχει οὐργίας μετρουμένας καὶ συμψηφιζομένας διακοσίας, καὶ οὕτως ὀφείλεις ποιεῖν καθὼς καὶ διδάσκεσαι.

Πλὴν ὀφείλεις ἐπιγινώσκειν καὶ τοὺς ἀέρας καλῶς, τήν τε ἀνατολήν, τὴν δύσιν, τὴν ἄρκτον καὶ τὴν μεσημβρίαν. ἡ γὰρ ἀνατολὴ ἀείποτέ ἐστιν ἡ κεφαλή, καὶ οὕτως ὀφείλεις καταλογίζεσθαι τὴν κεφαλὴν τοῦ χωραφίου τὴν βλέπουσαν τὴν ἀνατολήν. εἰ δὲ κεῖται τὸ χωράφιον ἐπὶ πλαγίου καὶ ἴσους, κεῖται ἡ ἀνατολὴ εἰς τὸ κάτω χύμα τοῦ χωραφίου καὶ ἐκεῖσε θέλει καταλογίζεσθαι, ἔνθα καὶ καταρρέουν τὰ ὕδατα.

Ἐὰν δὲ καὶ περιορισμὸν χωρίου θέλῃς ποιῆσαι, εἰ μὲν ἔχει τὸ μετρούμενον χωρίον ἔσωθεν τοῦ περιορισμοῦ ῥύακας καὶ ὀρεινὰ καὶ παλούρους τόπους, ὀφείλεις ποιῆσαι <τὸ σχοινίον δωδεκαούργιον..........> καὶ οὕτως μετρεῖν ἀρχόμενον ἀπὸ τῆς καθέδρας τοῦ χωρίου.

οὐργίαι κ'
κε' κε'
ις'


Χωράφιον οὗ ἡ κεφαλὴ ἔχει οὐργίας κ' καὶ ὁ πούς οὐργίας ις', ὁμοῦ λς'. ἔχει δὲ καὶ τὸ ἓν πλάγιον οὐργίας κε' καὶ τὸ ἕτερον κε', ὁμοῦ ν'. ὕφειλε δὲ ἀπὸ τούτων τὰ ἡμίση τῶν λς' καὶ τὰ ἡμίση τῶν ν', καὶ μένουσιν οὐργίαι ιη' καὶ κε', τὰ δὲ ἄλλα ῥίψον τελείως. εἶθ' οὕτως ἐρώτα τὰ ιη' μετὰ κε' οὕτως· ιη' κ'. τξ', καὶ ὀκτωκαιδεκάκι ε'· ϟ', ὁμοῦ τὰ ἀμφότερα οὐργίαι υν', καὶ ἔστι γῆ μοδίων β' δ''. αἱ γὰρ διακόσιαι οὐργίαι ψηφίζονται γῆ μοδίου ἑνὸς καὶ αἱ ν' δ''.





Ἕτερον χωράφιον ἰσοτετράγωνον. οἷον ἔχει ἡ κεφαλὴ οὐργίας κ' καὶ ὁ πούς κ' καὶ τὰ δύο πλάγια ὁμοίως ἀνὰ οὐργίας κ', τὰ ἡμίση πάντων ἀπόλυσε παντελῶς, τὰ δὲ ἕτερα μ' μέσασον μέσα καὶ ἐρώτα τὰ κ' μετὰ κ' καὶ γίνονται υ', καὶ ἔστι γῆ μοδίων δύο.

Ἕτερον χωράφιον μακροτετράγωνον. οἷον ἔχει ἡ κεφαλὴ οὐργίας ι' καὶ ὁ πούς οὐργίας ι', τὰ δύο πλάγια ἀνὰ οὐργί-

13 παλούρους] παλλουρο W - 13-14 <..>] W praebet spatium XXXV punctorum non scriptum - 15 reliqua pagina in W non scriptum est - 18 πλάγιον] πλάτος W - 33 οὐργίας[2]] οὐργιῶν W





ας λ'. ἀπόλυσον παντελῶς τὰ ἡμίση ἤγουν τὰ ι' καὶ τὰ λ', τὰ δὲ ἕτερα ι' καὶ τὰ λ' κράτει καὶ ψήφισον οὕτως· δεκάει λ'· τ', καὶ ἔστιν ἡ γῆ μοδίων α' c'', ἤγουν τὰ σ' μοδίου ἑνὸς καὶ τὰ ρ' ἡμίσου.





Ἕτερον τριγωνοειδές, ὅπερ ἔχει τὸ ἓν μέρος σχοινία ν' καὶ ἡ πόδωσις ἕτερα ν', τὸ δὲ ἕτερον μέρος σχοινία μ', καὶ ἀπὸ μὲν τῶν μ' ἀπόλυσον τὰ κ', τὰ δὲ κ' κράτει, καὶ ἐκ τῶν τοιούτων κ' μέσασε αὐτὰ καὶ χωρίσας τὰ ι' ἐρώτα τὰ ι' μετὰ ν' τοῦ ἑνὸς πλαγίου καὶ τὰ ἄλλα ι' μετὰ ἄλλα ν' τοῦ ἑτέρου πλαγίου, ἤγουν· δεκάει ν'· φ', καὶ δεκάει ν'· φ', ὁμοῦ τὰ ἀμφότερα ,α, τὰ ἡμίση· φ', καὶ ἔστι γῆ μοδίων φ'.

Ἕτερον μέτρον τῆς γῆς.

Ὀφείλει ἔχειν τὸ σχοινίον, ὁποῦ μετρᾷ τὴν γῆν, οὐργίας ιβ', καὶ ἑκάστη οὐργία σπιθαμὰς θ', ὁμοῦ σπιθαμὰς ρη'. νῦν ἰδεῖν καὶ τοῦ σημαδίου τὸν τόπον.





Ἔχει ἡ κεφαλὴ ν' καὶ ἡ πόδωσις ν', ὁμοῦ ρ', τὰ ἡμίση τούτων ἄφες. ἔχει καὶ τὸ ἓν πλάγιον σχοινία π' καὶ τὸ ἕτερον π', ἄφες καὶ αὐτῶν τὰ ἡμίση, καὶ πολυπλασίασον τὰ ν' μετὰ π' καὶ γίνονται ,δ. ἰδοὺ τοσούτων μοδίων ἐστὶν ἡ τοιαύτη γῆ καὶ τὸ μέτρον τοῦ σημαδίου.




Μέτρησον καὶ τὸν τοιοῦτον ἁλωνοειδῆ τόπον γύρωθεν ὅλον μὲ τὸ σχοινίον, εἶτα ὅσος εὑρεθῇ ὁ ποσός, μέρισον αὐτὸν εἰς τέσσαρας μερίδας ἐξ ἴσου, καὶ εἰ μὲν εὑρεθῇ σχοινία π' τὸ ὅλον, ὕφειλε τὰ μ' καὶ πολυπλασίασον αὐτὰ τὰ μ' μετὰ ἕτερα μ' καὶ γίνονται ,αχ', καὶ τὰ μὲν ἡμίση τῶν ,αχ' ῥίψε παντελῶς, τὰ δὲ ἡμίση κράτει ἤγουν τὰ ω', καὶ ἔστιν ὁ τοιοῦτος τόπος μοδίων ω'.

13 φ'²] β' c'' ἤγουν τὰ φ' W - 14 μέτρον] μέτρος W - 19-20 ἓν πλάγιον] τὸ πλάτος W - 24 ἁλωνοειδῆ] ἁλωνοειδὲς W - 26 αὐτὸν] αὐτὰ W - 31 ἔστιν] ἔστι W







Ἑτέρα γῆ ἁρμένου. ἔχει ἡ πόδωσις σχοινία ι' καὶ ἡ κεφαλὴ σχοινία κ', μέσασον αὐτὰ καὶ κράτει τὰ ιε', ἔχει δὲ καὶ τὸ πλάγιον λ' καὶ τὸ ἕτερον λ', ὁμοῦ ξ', κράτει τὰ ἡμίση τῶν ξ' καὶ τὰ ἄλλα ἄφες, καὶ πολυπλασίασον τὰ ιε' σχοινία μετὰ λ' καὶ γίνονται υν', τὸ ἥμισυ τῶν υν'· σκε', καὶ ἰδοὺ ἔνι γῆ μοδίου ἑνὸς καὶ πινακίου τὸ c'' ἤτοι ὄγδοον τοῦ μοδίου· τὰ γὰρ σ' ἔχουσι μόδιον α', τὰ δὲ κε' ὄγδοον.

Ἕτερον χωράφιον τριγώνιον σκουταροειδές. ἔχει ὁ πούς οὐργίας μ' καὶ τὰ δύο πλάγια οὐργίας ϟ'. τὰ ἡμίση τούτων κ' καὶ με'. πολυπλασίασον τὰ κ' μετὰ με' καὶ γίνονται ϡ', καὶ ἔστι γῆ μοδίων δ'c''.

Ἕτερον τριγώνιον. ἔχει ὁ πούς σχοινία ιδ' καὶ τὰ δύο πλάγια σχοινία κη', τὰ ἡμίση τούτων ζ' καὶ ιδ'. πολυπλασίασον τὰ ζ' μετὰ τῶν ιδ' καὶ γίνονται ϟη', καὶ ἔστι γῆ μοδίων μθ'.




Ἕτερον ἁλωνοειδές. ἔχει ὁλόγυρα σχοινία η', τὰ ἡμίση τούτων ἄφες καὶ τὰ ἡμίση κράτει, ἤγουν τὰ τέσσαρα. εἶθ' οὕτως πολυπλασίασον τὰ δύο μετὰ ἕτερα δύο καὶ γίνονται τέσσαρα, καὶ ἔστι γῆ μοδίων δύο.

Ἕτερον μέτρον τῆς γεωμετρίας.

Ἡ τοποθεσία ἡ ἔχουσα καθαροὺς τέσσαρας ἀέρας καὶ ἔχουσα ἐν ἀμφοτέροις τοῖς μέρεσιν ἀνὰ σχοινία λη' καὶ ν' ἤ τε καὶ πλεῖον ἢ ἔλαττον ὀφείλει μετρᾶσθαι εἰς τάξιν γυρομέτρου καὶ ἑνοῦσθαι τὰ ἀμφότερα σχοινία, εἶτα διώκεσθαι τὰ ἡμίση, τὰ δὲ ἡμίση τὰ περιλιμπανόμενα διαιρεῖσθαι καὶ αὐτὰ εἰς δύο καὶ ἐρωτᾶσθαι ταῦτα τὰ ἡμίση μετὰ ἑτέρων ἡμίσεων καὶ τὸν ἀναβιβασθέντα ἀριθμὸν πάλιν μερίζειν εἰς δύο, καὶ ἔσται τὸ ἓν μέρος τοῦ μερισθέντος

4 ὁμοῦ] ἤγουν W - 10 σκουταροειδὲς] σκοταροειδὲς W - 24 μέτρον] μέτρος W - 25-26 ἔχουσα] ἔχουσιν W - 26 μέρεσιν] μέρεσι W - σχοινία] σχοινίων W - 27 ἤ τε] εἴτε W - πλεῖον] πλείονα W - εἰς] δ εἰς W - 28 εἶτα] εἴτε W

ὁ μοδιακός, καθὼς καὶ πρότερον ἐσχηματίσθησαν καὶ μεμέτρηνται. εἰ δέ γε πολλάκις εὑρεθῶσιν ἐπάνω τῶν σχοινίων οὐργίαι ἢ μία ἢ δύο ἢ τρεῖς ἢ καὶ εἰς ποσὸν τὸν ἀριθμὸν τοῦ σχοινίου λείψει οὐργία μία, ὀφείλεις πρῶτον συμψηφίζειν καὶ μοδίζειν τὰ σχοινία καὶ ἔπειτα τὰς οὐργίας καὶ ἀναβιβάζειν καὶ αὐτάς, καθὼς καὶ προερμηνεύσαμεν καὶ ἐσχηματίσαμεν.

## II.5

Π ε ρ ὶ   μ ο δ ι σ μ ο ῦ.

Ἡ ὀργυιὰ ἔχει σπιθαμὰς θ′. λαβὼν τοίνυν κάλαμον ποίησον ὀργυιὰς καὶ μέτρει μετὰ σχοινίου δωδεκαοργυίου τὴν γῆν, ἤγουν εἰς τὰ δύο πλάγια τοῦ τόπου μετρουμένου, καὶ εἴ τι φέρει ὁ τόπος, ὕφελε τὰ ἡμίση. ὁμοίως μετρεῖται καὶ ἡ κεφαλὴ καὶ ὁ πούς, καὶ εἴ τι φέρει, ὕφελε καὶ αὐτῶν τὰ ἡμίση. καὶ κανόνιζε οὕτως· μέτρει σταυροειδῶς καὶ τότε ψήφισον τὸ πλάτος πρὸς τὸ μῆκος, καὶ εἴ τι φέρει, τὸ ἥμισύ ἐστιν ὁ μοδισμός. ἐὰν δέ ἐστι τὸ χωράφιον τρίγωνον ὥσπερ ἄρμενον, μέτρησον ὁμοίως καὶ ἔπαρον τὰ ἡμίση. μέτρησον δὲ καὶ τοὺς πόδας καὶ ἔπαρον τὰ ἡμίση καὶ ἱκάνωσον αὐτὰ ὁμοίως, καὶ εἴ τι φέρει ἡ ψῆφος, τὸ ἥμισύ ἐστιν ὁ μοδισμός. ἐὰν δὲ ἔχῃ κοιλίαν εἰς τὸ ἔσω χεῖλος εἴτε εἰς τὸ ἔξω, μέτρει τὸ πλάτος τῆς κεφαλῆς καὶ τῆς μέσης καὶ τῆς ποδαίας, καὶ ἔπαρον τὴν τρίτην μοῖραν, τὰς δὲ δύο κατάλειπε. μέτρει δὲ καὶ τὸ μέρος τοῦ μήκους ἐπάνωθεν ἕως κάτω καὶ τότε ψήφισον ὁμοίως, καὶ τὸ ἥμισύ ἐστιν ὁ μοδισμός. ἐὰν δέ ἐστιν ὥσπερ ἁλώνιον, μέτρει αὐτὸ σταυροειδῶς καὶ ὕφελε τὴν τρίτην μοῖραν καὶ τὰ λοιπὰ ποίησον εἰς δύο, καὶ εἴ τι φέρει ἡ ψῆφος, τὸ ἥμισύ ἐστιν ὁ μοδισμός. ἐὰν δὲ ἰλίγγους ἔχῃ εἴτε ἀπὸ τῆς μέσης, εἴτε ἀπὸ εἰσελεύσεως ἑτέρου χωραφίου, μέτρει τὴν κεφαλὴν καὶ τοὺς πόδας καὶ τοὺς ἰλίγγους καὶ ἴσασον.

14, 21, 23, 25, 29 μέτρει] L, μέτρα Q - 15 τὸ μῆκος] τοῦ μήκους LQ - 19 ἡ] L, ὁ Q - τὸ ἥμισύ ἐστιν] L, ἔστιν τὸ ἥμισυ Q - 23 τὸ μέρος] L, τὴν μερέαν Q



Ἕτερον περὶ μέτρων <γῆς καὶ σχημάτων>.

Ἐν πάντι τόπῳ τῆς ἀνατολῆς τὸ σχοινίον ὀργυιῶν γίνεται ιβ′, ἐν δὲ τῷ Θρᾳκησίῳ καὶ τῷ Κιβυρραιώτῳ ὀργυιῶν ι′ διὰ τὸ τοῦ τόπου εὔχρηστον. τὸ αὐτὸ δὲ γίνεται καὶ ἐν τῇ δύσει, ἤγουν μετὰ δεκαοργυίου μετροῦσι, πλὴν ποιοῦσιν ὑπεξαίρεσιν κατὰ ι′ σχοινία σχοινίον α′, καὶ οὕτως ποιοῦσι τὴν ψῆφον.

Ἐπὶ γοῦν τῆς πρώτης ποιότητος καὶ τῶν εὐχρήστων θεμάτων ὡς τοῦ Θρᾳκησίου καὶ τοῦ Κιβυρραιώτου ἡ ὀργυιὰ ἔχει σπιθαμὰς βασιλικὰς θ′, τὸ δὲ σχοινίον ὀργυιὰς ι′, ἐπὶ δὲ τῶν λοιπῶν θεμάτων ἄνευ τῆς δύσεως ὀργυιὰς ιβ′. ἡ ὀργυιὰ ἔχει παλαιστὰς κη′ δ′′ ἤγουν σπιθαμὰς βασιλικὰς θ′ δ′′, τὸ δὲ σχοινίον ὀργυιὰς ι′. τοῦ μοδίου ὁ τόπος ἔχει ὀργυιὰς σ′, αἵτινές εἰσι λίτραι μ′. αἱ γὰρ ε′ ὀργυιαὶ χωροῦσι σίτου λίτραν α′.


Λέγεται δὲ πρώτη μὲν ποιότης τὸ χορτοκοπούμενον λιβάδιον, ὁ ὕπαρδος τόπος, τὸ παραθαλάσσιον καὶ τὸ ἐσώθυρον, δευτέρα δὲ ἡ σπειρομένη μὲν ἄνυδρος δὲ καὶ ἐξώθυρος, τρίτη ἡ νομαδιαία καὶ χερσαία. μετὰ γοῦν τοῦ αὐτοῦ σχοινίου τοῦ δεκαοργυίου ὀφείλεις μετρεῖν τὰς τρεῖς ποιότητας.

Ἔχει δὲ διαφορὰν περὶ τὰς διατιμήσεις κατά τε τὰ βασιλικὰ προστάγματα καὶ τὰ τῶν τόπων ἔθιμα· ἤγουν τῆς μὲν πρώτης ποιότητος τῆς σπειρομένης τῷ νομίσματι μόδιον α′, τῆς δὲ δευτέρας τῷ νομίσματι μοδίους β′, καὶ τῆς τρίτης τῷ νομίσματι μοδίους γ′ ἢ κατὰ τὸ ἔθιμον τοῦ τόπου. τὸ δὲ λιβάδιον τὸ χορτοκοπούμενον ὁ μόδιος νομίσματα γ′. τὴν δὲ νομαδιαίαν ὀφείλεις μοδίζειν καὶ παρέχειν ὑπὲρ ἑνὸς προβάτου τὸ χειμωνιάτικον ἑξάμηνον μοδίους β′ c′′ καὶ δέχεσθαι ὑπὲρ ρ′ προβάτων ἐννόμιον νόμισμα α′ χρυσοῦν, καὶ ὅταν ἀναβιβάζῃς δ′ ἢ ε′ νομίσματα δέχεσθαι τιμὴν λίτραν α′ χρυσῆν, καθὼς καὶ ὁ βασιλεὺς πιπράσκει τῇ λίτρᾳ νομίσματα ζ′. καὶ εἰ μέν εἰσι τὰ πρόβατα μεγάλα, δέχου αὐτὰ


1 μέτρων] L, om. Q - 2-3 γίνεται] L, μέτρων γῆς καὶ σχημάτων ἔχει Q - 5 ἤγουν] L, ἢ Q - 25 τῷ] L, τῶν Q - 33 αὐτὰ] L, αὐτῶν Q

τῷ νομίσματι ἕξ, εἰ δὲ μικρὰ τῷ νομίσματι ι'. οὕτως οὖν ὀφείλεις ἀποτιμᾶσθαι καὶ τὰ οἰκήματα, ὅσα καὶ οἷά εἰσι· τοὺς δὲ παροίκους τοὺς ζευγαράτους ἀνὰ νομίσματα κδ' χρυσᾶ, τοὺς βοϊδάτους ἀνὰ ιβ', καὶ τοὺς ἀκτήμονας ἀνὰ ς'. καὶ τότε ὀφείλεις, ἐὰν ἔχῃ δημόσιον τὸ κτῆμα, εὑρεῖν αὐτὸ καὶ κατασπᾶν κατὰ τρία νομίσματα λίτραν α', ἤγουν κατὰ κδ' νομίσματα εἰς τὸ α' νόμισμα τοῦ δημοσίου. εἰ δὲ ἔχει πρόσοδον τὸ τοιοῦτον κτῆμα νομισμάτων, ὀφείλεις ἀναβιβάζειν εἰς τὸ ἓν νόμισμα νομίσματα ιβ', οὐχ ὡς ἐπὶ τοῦ δημοσίου νομίσματα κδ'. ἡ γὰρ εἴσοδος καὶ ἔξοδον ἔχει. εἰ δέ ἐστι νομὴ βουβαλίων ἢ φορβάδων ἢ βοϊδίων, ὀφείλεις διδόναι ὑπὲρ ἑνὸς ἑκάστου κεφαλίου ὑπὲρ νομῆς μηνῶν ς' τόπον μοδίων ι' καὶ λαμβάνειν ἐννόμιον κατὰ γ' κεφάλια νόμισμα α' χρυσοῦν.

Χωράφιον λεγόμενον ταῦλα. πλάτος ὀργυιὰς ι', μῆκος ὀργυιὰς κ'. εἰπὲ οὖν δεκάκις κ'· διακόσια, καὶ ἔστι μοδίου ἑνός.





Χωράφιον τρίγωνον. τὸ τοιοῦτον ἔχει μῆκος εἰς τὰ δύο πλάγια μ', καὶ πλάτος κ'. τὸ ἥμισυ τῶν μ'· κ', τὸ δὲ ἥμισυ τῶν κ'· ι', καὶ εἰπέ· δεκάκις κ'· σ'.




Ἕτερον ἁρμενοειδές. τὸ ἥμισυ τῶν ι'· ε', τὸ ἥμισυ τῶν ν'· κε'. ἐρωτᾷς ε' κ'· ρ', ε' ε'· κε', ὁμοῦ ρκε', τὸ ἥμισυ τούτων· ξβ' c'', τοσούτων οὖν ἐστὶ μοδίων.

Ἐπὶ γὰρ τῶν ὀργυιῶν οὐ μεσάζεις τὴν ψῆφον, ἀλλ' ἐπὶ τῶν σχοινίων μόνον ὥσπερ ἐνταῦθα.





Χωράφιον τὸ λεγόμενον ἀλώνιον. πλάτος ν', μῆκος ν'. τὸ τοιοῦτον μετρεῖται γύρωθεν, ὁμοῦ σχοινία ρ', τὸ ἥμισυ τῶν ρ'· πεντήκοντα. εἰπὲ τοῦ πλάτους σχοινία κε' καὶ τοῦ μήκους σχοινία κε'. ἐρωτᾷς κ' κ'· τετρακόσια, ε' κ'· ρ',


4 ς'] L, ξ' Q - 8 ὀφείλεις] Q, ὀφείλει L - 20 δὲ] L, om. Q - 22 ι'] Q, ante ι' sec. man. addit λ' L - 29 μετρεῖται] L, μετρᾶται Q - 30, 31 σχοινία] Q, σχοινίων L - 32 τετρακόσια, ε'] L, om. Q



ε' ε'· κε', κ' ε'· ρ', ὁμοῦ χκε', τὰ ἡμίση τούτων· τιβ' c''.





Ἕτερον χωράφιον ὅπερ μετρεῖται σταυροειδῶς. ὁμοῦ υ', τὸ ἥμισυ τούτων· σ', ἐξ ὧν ποίησον τὰ ρ' πλάτος καὶ τὰ ρ' μῆκος καὶ ἐρώτα οὕτως· ρ' ρ'· ἄ, τὸ ἥμισυ τούτων· ,ε.




Ἕτερον χωράφιον ὁ καλλινός. τὸ τοιοῦτον χωράφιον ἔχει ὑπερβολὰς καὶ ἐλλείψεις. ἔχει μῆκος εἰς τὰ δύο πλάγια ἀνὰ κ' καὶ τὸ πλάτος σχοινίων ιε'. ψήφισον οὕτως· τὸ πλάτος πέμπτον τῶν ιε'· γ', ἅτινά εἰσι πλάτος, καὶ τὸ ἥμισυ τῶν μ'· κ', ἅτινά εἰσι μῆκος, καὶ εἰπὲ οὕτως· γ' κ'· ξ', τὰ ἡμίση τῶν ξ'· λ', τοσούτων μοδίων ἐστί.


Ἕτερον χωράφιον. ἡ κεφαλὴ σχοινία ν', ὁ ποὺς σχοινία ο', τὸ ἓν πλάγιον ρ' καὶ τὸ ἕτερον ρ'. ὁμοῦ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς σχοινία ρκ', τὰ ἡμίση τούτων ξ'. τὰ δύο πλάγια ἀνὰ ρ'· σχοινίων σ', καὶ ταῦτα ἡμισαζόμενα· σχοινίων ρ'. ὑπέξελε οὖν ἀπὸ τῶν ξ' σχοινίων τῆς κεφαλῆς καὶ τοῦ ποδὸς κατὰ ι' σχοινία α' καὶ καταλιμπάνονται πεντηκοντατέσσαρα, ἀπὸ τῶν πλαγίων τῶν ρ' σχοινίων ι' καὶ μένουσιν ϟ'. καὶ εἰπέ· ν' ϟ'· ,δφ', καὶ δ' ϟ'· τξ', ὁμοῦ σχοινία ,δωξ', τὰ ἡμίση τούτων· μόδια ,βυλ'.




Ἕτερον. ἡ κεφαλὴ καὶ ὁ ποὺς σχοινία λε', τὰ δύο πλάγια σχοινία ν'. τὸ ἥμισυ τῶν λε'· ιζ'c'', τὸ ἥμισυ τῶν ν'· κε'. ἐρωτᾷ οὖν ιζ' κε'· υκε', τὸ ἥμισυ τῶν κε'· ιβ'c'', ὁμοῦ υλζ'c'', τὰ ἡμίση τούτων· σιη'c''δ''. τοσούτων οὖν μοδίων ἐστί.

Ἕτερον. τῆς κεφαλῆς καὶ τοῦ ποδὸς σχοινία κ' ὀργυιαὶ ζ', ὧν τὰ ἡμίση· σχοινία ι' ὀργυιαὶ γ' c''. τῶν δύο πλαγίων


1 ὁμοῦ] ε' ε'· κε', ὁμοῦ L, ε' ἢ ε'· κε', ὁμοῦ Q - 4 τούτων] τούτου L - 11 ἅτινά] αἵτινες L - 24 μόδια] σχοινία L




σχοινία ι' ὀργυιαὶ θ', ὧν τὰ ἡμίση· σχοινία ε' ὀργυιαὶ δ'c''. ἐρώτα οὖν· ε' ι'· ν', τὸ ἥμισυ τούτων· κε'. ἄρτι ποίησον τὰ δέκα σχοινία τῆς κεφαλῆς ὀργυιὰς ρ' καὶ σύγκρουσον αὐτὰς μετὰ τῶν δ'c'' καὶ εἰπέ· δ' ρ'· υ', τὸ ἥμισυ τῶν ρ'· ν'. καὶ πάλιν ποίησον τὰ ε' σχοινία τῶν δύο πλαγίων ὀργυιὰς ν' καὶ σύγκρουσον αὐτὰς μετὰ τῶν γ' <c''> ὀργυιῶν τῆς κεφαλῆς καὶ τοῦ ποδὸς καὶ εἰπέ· γ' ν'· ρν', τὸ ἥμισυ τῶν ν'· κε'. εἶτα ἐρωτησάτωσαν αἱ ὀλίγαι ὀργυιαὶ μετὰ τῶν ἑτέρων ὀργυιῶν οὕτως· δ' γ'· ιβ'. ὁμοῦ ὀργυιῶν χλζ', τῷ μοδίῳ σ'· μοδίων γ' λιτρῶν ζ' ὀργυιῶν β'. ἕνωσον οὖν καὶ τοὺς ἀνωτέρω κε' μοδίους μετὰ τούτων, καὶ εὑρίσκεται γῆ μοδίων κη' λιτρῶν ζ' ὀργυιῶν β'.

σχοινία β'
σχοινία δ' ὀργυιαὶ β'
σχοινία δ' ὀργυιαὶ β'
σχοινία β'

Ἕτερον σχῆμα· τετράγωνον ἐπίμηκες. ἡ κεφαλὴ σὺν τῷ ποδὶ σχοινία δ', τὰ δύο πλάγια σχοινία η' ὀργυιαὶ δ'. τὰ ἡμίση τῆς κεφαλῆς καὶ τοῦ ποδὸς σχοινία β', τῶν δύο πλαγίων σχοινία δ' ὀργυιαὶ β'. ἐρωτᾷ οὖν τὰ σχοινία οὕτως· β' δ'· η'. καὶ πάλιν ἐρωτῶσιν αἱ β' ὀργυιαὶ τὰς κ' τὰς μὲν τῆς κεφαλῆς καὶ τοῦ ποδός· β' κ'· μ'. ὁμοῦ σχοινία η' καὶ ὀργυιαὶ μ'. ταῦτα μεσαζόμενα γίνεται σχοινία δ' καὶ ὀργυιαὶ μ', καὶ ἔστιν ὁ τόπος οὗτος μοδίων δ' λιτρῶν η'. ὁ γὰρ μόδιος λίτρας μ' ἔχει καὶ ἡ λίτρα ὀργυιὰς ε'.





Ἕτερον κογχοειδές. τοῦ τοιούτου τόπου πρότερον μετρεῖται ὁ πούς, καὶ ὅσα εὑρεθῇ ἔχων σχοινία, τοσαῦτα λογίζονται καὶ τῆς κεφαλῆς. μετροῦνται δὲ καὶ τὰ δύο πλάγια, διὰ δὲ τὴν


9 αὐτὰς] αὐτὰ L - 23 κ'[1]] μ' L - β' κ'· μ'] β' μ'· π' L - 24 καὶ] ἤγουν L - μ'] π' L - 25 καὶ[1]] ἤγουν L - 28 ἕτ. κ.] L, τοῦτο τὸ κογχοειδὲς σχῆμα Υ - 28-29 τοῦ τ.τ.] L, om. Υ - 29 πρότερον] L, πρῶτον μὲν Υ - μετρεῖται] L, μετρᾶται Υ - 30 ὅσα ... σχοινία] L, εὑρίσκεται ἔχον σωκάρια Υ - 31 λογ. ... κεφ.] L, καὶ λογίζονται ὡς κεφαλὴ Υ - 31-32 μετροῦνται δὲ] L, μετρῶνται Υ - 32 δέ[2]] L, om. Υ



κοιλότητα τὴν οὖσαν πρὸς τὴν κεφαλὴν μετρεῖται καὶ ἡ μέση κατ' εὐθεῖαν πρὸς τὸ μῆκος, καὶ συναριθμοῦνται τὰ δύο πλάγια καὶ τῆς μέσης τὰ σχοινία. εἶτα κατασπᾶται τὸ τρίτον τούτων, τὸ δὲ δίμοιρον τίθεται εἰς τόπον τῶν πλαγίων. οἷον ἔχει ἡ κεφαλὴ σὺν τῷ ποδὶ σχοινία κδ', τὰ ἡμίση τούτων σχοινία ιβ'. ἔχουσι δὲ καὶ τὰ δύο πλάγια σχοινία ιζ' c'' καὶ ἡ μέση σχοινία θ'c'', ὁμοῦ σχοινία κζ', τούτων κατάσπα τὸ τρίτον ἤγουν σχοινία θ', τὰ δὲ ιη' λογίζονται τῶν δύο πλαγίων, ἃ καὶ μεσαζόμενα γίνονται θ'. καὶ ἐρώτησον οὕτως· ιβ' θ'· ρη', τὰ ἡμίση τούτων· νδ', καὶ ἔστιν ὁ τόπος μοδίων νδ'.





Ἕτερον τὸ τοιοῦτον. διὰ τὸ εἶναι ὕπεργον τὸν τόπον καὶ λιβάδιον ὑπόποτον γίνεται ἡ ὑπεξαίρεσις κατὰ κ' σχοινία σχοινίον α'. τοῦτο οὖν μετρεῖται ὁλόγυρον ὡς λιβάδιον. ὁμοῦ σχοινία σκγ'. ἐκ τούτων ποίει ὑπεξαίρεσιν κατὰ κ' σχοινία σχοινίον α' διὰ τὰς ἐν μέσῳ ὑπερβολὰς καὶ ἐλλείψεις· καὶ λοιπὰ σχοινία σιβ', τὸ ἥμισυ τούτων· ρς', ἐξ ὧν θὲς τὴν κεφαλὴν σχοινία νγ' καὶ τοῦ πλαγίου τὰ ἕτερα νγ'. καὶ εἰπέ· ν' ν'· ,βφ', καὶ ν' γ'· ρν', γ' γ'· θ', <καὶ γ' ν'· ρν', ὁμοῦ σχοινία ,βωθ',> τὰ ἡμίση τούτων· ,αυδ'c'', καὶ ἔστι μοδίων ,αυδ'c''.




Λιβάδιον ξηρόν, διὸ καὶ ὑπεξαιρεῖς κατὰ ι' σχοινία α'. τὸ τοιοῦτον ὁμοῦ σχοινία ρπς', ἐξ ὧν ὀφείλεις κατασπᾶν διὰ τὰ ἐν μέσῳ ῥυάκια, τὰς ὁδοὺς καὶ τὰς φάραγγας καὶ τὰ ἕλη κατὰ ι' σχοινία σχοινίον α', ἤγουν σχοινία ιη'c''

1 τὴν] L, om. Υ - μετρεῖται] L, μετρᾶται Υ - καὶ] Υ, om. L - 2 κατ' ... τὸ] L, κατευθὺ εἰς Υ - 3, 5, 6, 8 σχοινία] L, σωκάρια Υ - 4 τούτων] L, om. Υ - τόπον] L, τύπον Υ - 5 ἔχει] Υ, om. L - 6 σχοινία[1]] L, om. Υ - ἔχ. ... καὶ] L, om. Υ - 7 καὶ] L, om. Υ - σχοινία[1]] L, σωκάρια Υ - σχοινία[2]] L, om. Υ - 7-8 τ. κατάσπα] L, ἐκ τούτου κατάσπασον Υ - 8 ἤγουν] Υ, om. L - 9 τ. δύο πλ.] Υ, πλάγια L - ἃ ... γίν.] Υ, τούτου τὸ ἥμισυ σχοινία L - 9-10 ἐρώτησον] Υ, ἐρωτᾷ L - 10 οὕτως] L, τὰ θ' μετὰ τῶν δώδεκα Υ - 10-11 καὶ ... νδ'] Υ, τοσούτων ἐστὶ μοδίων L - 25-26 λιβάδιον ... α'] in fig. inscriptum est

καὶ λοιπὰ σχοινία ρξζ'ϲ'', τὰ ἡμίση τούτων σχοινία πγ'ϲ'' δ'', ἐξ ὧν ἡ κεφαλὴ σχοινία μα'ϲ''δ'' καὶ τὸ πλάγιον σχοινία μα'ϲ''δ''. καὶ ἐρωτᾷς οὕτως· μ' μ'· ,αχ', καὶ μ' <α'>· μ', καὶ πάλιν μ' <α'>· μ', τὰ ἡμίση τῶν μ'· κ', καὶ πάλιν τὰ ἡμίση τῶν μ'· κ', τὸ τέταρτον τῶν μ'· ι', τὸ ἥμισυ τῆς μιᾶς· ϲ'', καὶ πάλιν τὸ ἥμισυ τῆς μιᾶς· ϲ'', τὸ ἥμισυ τοῦ ϲ''· δ'', τὸ τέταρτον τοῦ δ''· η''. ὁμοῦ σχοινία ,αψλγ', τὰ ἡμίση τούτων· σχοινία ωξς'ϲ'', καὶ ἔστι μοδίων τοσούτων.




Ἕτερον· λιβάδιον ἢ χωράφιον ὁλόγυρον μετρούμενον. ὁμοῦ σχοινία τὰ ὅλα τλβ', ἀφ' ὧν ὀφείλεις κατασπᾶν κατὰ ι' σχοινία σχοινίον α' διὰ τὰ ἐν μέσῳ ῥυάκια καὶ τὰς φάραγγας καὶ τὰς ὁδούς. ἀλλὰ διὰ τὸ κατέρχεσθαι καὶ ὕδατα, ἔχειν δὲ καὶ μύλους ἐπὶ τούτῳ οὐκ ὀφείλεις κατασπᾶν οὐδὲ ἓν σχοινίον ἀλλὰ ψηφίζειν ὅλα. τὸ ἥμισυ γοῦν τῶν τλβ' σχοινίων· ρξς', καὶ κόψον αὐτὰ μέσον καὶ ποίησον κεφαλὴν καὶ πλάγιον. ἔχει ἡ μὲν κεφαλὴ σχοινία πγ', τὸ δὲ πλάγιον ἕτερα πγ', καὶ εἰπέ· π' π'· ,ςυ', καὶ γ' π'· σμ', καὶ πάλιν γ' π'· σμ', καὶ γ' γ'· θ', ὁμοῦ σχοινία ,ςωπθ', τὰ ἡμίση τούτων· ,γυμδ' ϲ'', καὶ ἔστιν ὁ τόπος τοσούτων μοδίων. εἰ δὲ οὐκ ἔστιν ἴσως ὁ τόπος ἔνυδρος, ὡς εἴρηται, κατάσπα κατὰ δέκα σχοινία σχοινίον α'.

## II. 6

Π ῶ ς δ ὲ μ ε τ ρ ᾷ ς τ ό π ο ν ὅ σ ω ν μ ο δ ί ω ν ἐ σ τ ί.

Δέον δὲ μετρᾶν τὸν βλεπόμενον τόπον διὰ τεσσάρων· ἐκ δύο πλαγίων καὶ κεφαλῆς καὶ ποδός, καὶ ἡ μὲν κεφαλὴ δα-


9-10 λιβ. ... μετρ.] in fig. inscriptum est L - 19 πγ'] πε' L



νείζει τῷ ποδὶ καὶ ὁ πούς τῇ κεφαλῇ καὶ τὰ δύο πλάγια ἀλλήλοις καὶ γ[ίνονται] ἀμφότερα ἐξ ἰσότητος.

Οἷόν ἐστιν εἰπεῖν, ὅτι ἔχει ἡ κεφαλὴ σωκάριον α' <καὶ ὁ πούς σωκάριον α'>, ἅπε[ρ ἑ]νούμενα γίνονται δύο καὶ πάλιν κοπτόμενα μέσον γίνονται σωκάριον α' ἀνὰ ὀργίων ι'. ὁμοίως ἔχουν καὶ τὰ δύο πλάγια ἀνὰ σωκαρίων β', <ἅπερ ἑνούμενα γίνονται> σωκάρια δ' [καὶ] πάλιν κοπτόμενα καὶ αὐτὰ μέσον γίνονται β' ἀνὰ ὀργίων ι'. καὶ λέγε οὕτως· [κ'] ι'· σ', ἃ β', [τὸ ἥμισυ] τῶν β'· α', καὶ ζητεῖ ὁ τοιοῦτος τόπος μόδιον α'.

Ὁ δὲ τόπος ὁ ὑποσπόριμος πράσινος σ' ὀργίας εἰς τὸ ὁλοκότινον, ἔχουν δὲ αἱ ,α ὀργίαι νομίσματα ε' [ἀνὰ] σ' ὀργίας εἰς τὸ ὁλοκότινον.




Ὁμοῦ κε'ϲ'', μόδια ιβ'ϲ''δ''.

Ὁμοῦ [κα' δ'' η''], μόδια ι' <ϲ''η'' ις''>. καταλέγεις γὰρ οὕτως· δὶς θ'· ιη', καὶ [τέταρτον τῶν θ'·] β'δ'', καὶ τὸ ἥμισυ τῶν β'· α', καὶ τέταρτον τοῦ ϲ''· η''.

Μετρᾷς μετὰ δεκαοργίου σωκαρίου, ἡ δὲ ὀργία ἔχει σπιθαμὰς θ' καὶ τὸ τέταρτον.

Καὶ εὑρίσκεται πολλάκις τόπος ἔχων πλάτος ὀργίας ε' ϲ'' καὶ μῆκος ὀργίας ρ', καὶ ψηφίζεις οὕτως· πεντάει ἑκατόν· φ', καὶ τὸ ἥμισυ τῶν ρ'· ν', καὶ γίνονται ὀργίαι φν', καὶ ἔστι τὸ τοιοῦτον χωράφιον μοδίων β' λιτρῶν λ'. πρὸς σ' ὀργίας τῷ νομίσματι ἔχ[ει] καὶ μόδιος λίτρας μ', δεκάλιτρον ἔχει μόδιος τέταρτος.

1 τῷ ποδὶ] τὸν πόδα D - τῇ κεφαλῇ] τὴν κεφαλὴν D - 5 πάλιν] πάλαι D - μέσον] μετὰ D - 6 ὁμοίως ἔχουν] ἤγουν αὐτὰ D - 10 ὁ] οἱ D - sequunt XI figurae geometricae in D f. 182$^v$ sine commentario, quas omitto - 19 ἡ δὲ ὀργία] τὸ δὲ τοιοῦτον σωκάριον D

θ'

κ' — ιε'

β'

Ὁμοῦ λε', τὸ ἥμισυ τῶν λε'· ιζ'c''. ὁμοῦ ια', τὸ ἥμισυ τῶν ια'· ε'c''. καὶ ἐρωτᾷ τὸ πλάτος ἤγουν τὰ ιζ'c'' σχοινία τὸ μάκρος ἤτοι τὰ ε'c'' οὕτως· ε' ιζ'· πε', τὸ ἥμισυ τῶν ιζ'· η'c'', καὶ τὸ ἥμισυ τῶν ε'· β'c'', ὁμοῦ τὰ ἀμφότερα σχοινία ϛϛ', τὸ ἥμισυ τῶν ϛϛ'· μη', καὶ ἔστιν ὁ τοιοῦτος τόπος μοδίων μη'.

Εἶτα καὶ ἄλλος εὑρίσκεται τόπος καὶ ἔχει πλάτος ὀργίας δ' καὶ μάκρος σωκάρια κ' καὶ ψηφίζεις πρῶτον τὰς ὀργίας τῶν κ' σωκαρίων καὶ λέγεις· ι' κ'· σ'. εἶτα λέγεις τὸ πλάτος ἤτοι αἱ δ' ὀργίαι, ὅτι δ' σ'· ω', καὶ ἔστιν ὁ τοιοῦτος τόπος μοδίων δ'. διακόσιαι γὰρ ὀργίαι εἰς τὸ ὁλοκότινον ἤτοι εἰς τὸν μόδιον.

Ἀποτιμᾶται δὲ τὸ ἀμπέλιον, ὅτι τοῦ μέτρου κατὰ μοδισμὸν ἔχει ὁ μόδιος νομίσματα ι', οἷον [εἰ] τὸ ἀμπέλιον αὐγουστιάτικον, εἰ δὲ καὶ μέσον νομίσματα ζ', εἰ δὲ καὶ χεῖρον νομίσματα ε', εἰ δὲ καὶ ἔτι χεῖρον καὶ χύμα νομίσματα γ'.

Περὶ τοῦ πραττομένου μέτρου τῆς γῆς, τίς ἡ αἰτία τοῦ καταλλήλως ἐνεργεῖσθαι καὶ ὅπως διαγινώσκεται ἡ ἐξ ἀνάγκης ἐν τούτῳ ἀλήθεια, ἐρώτησον πάντως, πόθεν καὶ τίς ἡ ἀνάγκη, ἥτις ἀληθεύειν ποιεῖ τοὺς ἀναμετροῦντας τὴν γῆν λέγοντες, ὡς αὕτη μὲν τόσου ἄλλη δὲ τοσούτου ἄλλη δὲ τόσου καθέστηκε μοδισμοῦ, καὶ πόσα σχοινία ἀναγκαίως τοῦ μοδίου διαγινώσκεται ποιοῦντος τὴν γῆν, καὶ διατὶ ἐνταῦθα μὲν τόσα ἐκεῖσε δὲ τόσα μόδια μοδίζουσι γῆν, ταῦτα δέον πάντα καὶ ὅσα τούτοις ἑπόμενα. παρὰ τῆς σῆς οὐκ ἀπᾴδει ζητεῖσθαι συνέσεως φιλόσοφα γὰρ ὡς τὰς ἀρχὰς

---

3 πλάτος] πλάγιον D - 4 post ε' c'' deleta sunt in D καὶ ἐρωτᾷ τὸ πλάγιον ἤγουν τὰ ιζ' c'' - οὕτως] καὶ μόνα D - 8-11 εἶτα ... ω'] et in f. $183^{v}$ et in f. $183^{r}$ D - 8 εἶτα καὶ ἄλλος] εἶτα καὶ ἄλλη D f. $183^{v}$, om. f. $183^{r}$ - τόπος] D f. $183^{v}$, δὲ τόπος f. $183^{r}$ - 10 καὶ λέγεις] D f. $183^{v}$, om. f. $183^{r}$ - εἶτα] D f. $183^{r}$, ἢ f. $183^{v}$ - 11 ἤτοι] D f. $183^{v}$, ἤγουν f. $183^{r}$ - ω'] D f. $183^{v}$, αχ' f. $183^{r}$ - 12 δ'] υ' D - 14 τοῦ μέτρου] τὸ μέτρον D - 15 οἷον] οἷον ἵνα D - 21 ἐρώτησον] ἐρώτησας D - 24 τόσου] τόση D



ἐκ τῆς ἑτέρας γεωμετρίας, ὡς οἱ λόγιοι δηλοῦσι, δεχόμενοι ἄλλως τε δὲ καὶ τοῦτο ἐπαινετὸν τὸ μὴ θελῆσαί σε μέχρις αὐτοῦ τοῦ τῶν λεγομένων νοταρίων ὀνόματος τὴν τῶν ἄλλων ὑπόληψιν ἵστασθαι τῶν πολλὰ μὲν εἰς τὴν γνῶσιν ἐνασχοληθέντων, αὐτὸ δὲ λαχόντων τὴν σήμερον [..] ἐνεργεῖν [δι'] ἐκείνων ὑπὸ τῆς περιπετείας τῆς βιωτικῆς καὶ τοῦ κλύδωνος.

Περὶ τοῦ κοινοῦ μέτρου καὶ τῆς [λεγομένης] νοταρικῆς εἰδήσεως.

Ἐκθήσομεν δὲ πρότερον αὐτὴν τὴν τῶν [νοταρίων εἴδησιν], ὅπως φέρεται καὶ τίνι τρόπῳ διαγινώσκεται παρ' αὐτῶν τὸ μετρούμενον γήδιον. [τὰς] ἀρχὰς δεδωκότες καὶ λόγον ἐν ταῖς ἀρχαῖς, ἀφ' ὧνπερ τὸ ἀληθὲς εὑρεθήσεται, ἑξῆς ἀπὸ τῶν ἀρχῶν λαβόντες τὰς ἀφορμὰς πρὸς τὴν ἀπόδειξιν τῶν ἀπορηθέντων χωρήσομεν.

Ἣν ἂν παραλαβεῖν ἐπιχειρήσωσιν οἱ νοτάριοι γῆν, εἰ μὲν ὥσπερ ὁλόκυκλον εὕρωσιν, ὁλόκυκλον ποιοῦσι καὶ τὸ μέτρον αὐτῆς, εἰ δὲ τετράγωνα αὖθις τετράγωνα — πολλὰ δὲ τῶν τετρα[γών]ων [τὰ] εἴ[δη] —, εἰ δὲ τρίγωνα διὰ τὸ φαίνεσθαι τριγωνίζουσαν οὐκ ὅ[μως ὀ]κνέουσι πάλιν καταμετρεῖν αὐτὴν ὡς τρίγωνα. ἐν πᾶσι δὲ τούτοις, [καὶ] εἰ μὴ τετραγωνίζουσι κατά τινα τρόπον τετραγωνίσματα, τὸ ποσὸν [τῶν] κορυφωθέντων σχοινίων καὶ τὰ ποσωθέντα σχοινία καὶ τὰς ὀργίας ταύτης τῆς πλευρᾶς ὡς πρὸς τὰ σχοινία τῆς ἑτέρας πλευρᾶς ἐπερωτήσουσιν ἅμα καὶ ὡς ἐνδέχεται πολυπλασιάζουσιν. εἶτα τὸν ἀριθμὸν τοῦ πολυπλασιασμοῦ ἀναβιβασθέντος μέσον [τέμνουσιν], οὐδέποτε τὸν μοδισμὸν ἀ[......]νονται. ἐκ τούτου γὰρ τούτοις ὁ μοδισμὸς τοῦ μετρουμένου διαγινώσκεται.

...


Ἔστω γὰρ τὸ περίμετρον ταύτης τῆς γῆς ὡς ἐν τύπῳ σχοινίων κδ', τετραγω[νι]ζομένων δὲ τῶν κδ' τέσσαρας ἀνὰ

---


1 οἱ λόγιοι] ὁ λόγος D - δηλοῦσι] δηλῶσι D - 7 post κλύδωνος sequit in D [ἐ]κθήσομεν δὲ πρότερον αὐτὴν τὴν τῶν λεγομένων - 11 τίνι τρόπῳ] τίνα τρόπον D - 18 τετράγωνα²] τετράγωνοι D - 20-21 καταμετρεῖν] καταμετρεῖ D

ἓξ ἀποτελοῦσι πλευράς, ἀφ' ὧν ἡ μία πρὸς τὴν μίαν ἐρωτηθεῖσα, ἤγουν τὰ ἓξ πρὸς τὰ ἓξ [σχοινία], τῆς ἑξάκις ἓξ ἐπερωτήσεως καὶ τοῦ συμψηφισμοῦ καὶ πολυπλ[α]σιασμοῦ τὸν τριακονταὲξ ἀριθμὸν ἐκπληροῖ — τὸ γὰρ ἑξάκις ἓξ τὸν τριακονταὲξ ἀριθμὸν συμψηφίζει —, καὶ δίδωσιν εἶτα μέσον αὐτοῦ τμηθέντος τοῦ τριακονταὲξ ἀριθμοῦ καὶ εἰς ἕτερον ἀριθμὸν περιστάντος τὸν δεκαοκτώ, ἐπείπερ ἥμισυ τὰ δέ-[καοκτὼ] τῶν τριακο[ν]ταέξ. κατ' αὐτὸν εἶναι λέγουσι καὶ τὴν διὰ τῶν κδ' σχοινίων ὁλοκύκλως περιλειφθεῖσαν γῆν, ἤγουν μόδια ιη'. ἐπίσης δὲ τούτῳ τῷ ἀριθμῷ καὶ ὅσα ὁμοίως κυκλοειδῶς μετρηθῶσι καὶ τετραγωνίζονται καὶ ἐπερωτῶνται καὶ πολυπλασιάζονται καὶ πολυπλασιασθέντα μέσον τέμνονται, καὶ κατὰ τὸ ἥμισυ τοῦ τόπου μετρηθέντος ὁ μοδισμὸς ἀποδίδοται.

Τόπου μέτρον σχοινίων ὡς ἐν τύπῳ κδ'. ἑξάει ς'· λς', τὸ ἥμισυ τῶν λς'· ιη', καὶ ἔστι μοδίων ιη'.





Τόπου μέτρον σχοινίων ὡς ἐν τύπῳ ξ'. πεντεκαιδεκάει πεντεκαίδεκα· σκε', τὸ ἥμισυ τούτων· ριβ'c'', καὶ ἔστι μοδίων ριβ'c''.




Τόπου μέτρον σχοινίων ὡς ἐν τύπῳ π'. εἰκοσάει εἴκοσι· υ', τὸ ἥμισυ τῶν υ'· σ', καὶ ἔστι μοδίων σ'.

4 τριακονταὲξ] τρακονταὲξ D - 7 τὰ] τοῖς D - 11-12 ἐπερωτῶνται] ἐπερωτῶντα D - 16-17 ἑξάει ... ιη'] in fig. inscriptum est in D - 19-21 πεντεκαιδεκάει ... ριβ' c''] in fig. inscr. D - 23-24 εἰκοσάει ... σ'] in fig. inscr. D







Τόπου μέτρον σχοινίων [ὡς ἐν] τύπῳ [ρ']. εἰκοσιπεντάκις εἰκοσιπέντε· χκε', τὸ ἥμισυ τούτων· τιβ'c'', καὶ ἔστι μοδίων τιβ'c''.


Ἀλλὰ τὰ μὲν ὡς ἐν κύκλῳ μετρούμενα τούτῳ τῷ τρόπῳ, ὡ[ς] εἴρηται, καὶ ψηφίζονται καὶ μοδίζονται, ἐπειὸν δὲ ταῦτα κατ' ἴσ[ας πλε]υρὰς τετραγωνίζονται πρότερον, μετὰ τοῦτο λαμβάνουσι τὸν συμψηφισμὸν καὶ τοῦ κύκλου ὥσπερ [pro LX punctis] κανών ἐστι τὸ τετράγωνον διὰ .τ... ἐκειν.. κεκανονίσται καὶ μεμετρίσται. ἀναγκαῖον, ὅτι καὶ τετράγωνα πάντα, ὧνπερ ἑκάστη πλευρὰ πρὸς ἑκάστην κατ' οὐδὲν διενήνοχεν ἀλλ' ἀμφότερα ἀμφοτέροις ἰσάζουσι, τῷ αὐτῷ λόγῳ τοῦ μετρουμένου τὴν εὕρεσιν κέκτηνται. εἰ γὰρ διὰ τοῦ τετραγώνου ὁ κύκλος πρὸς τὴν τῆς ἀληθείας κατάληψιν συμβιβάζεται, πολλῷ μᾶλλον αὐτῷ δι' ἑαυτοῦ τὸ τετράγωνον εἰς ταύτην συμβιβασθήσεται. ἐάν ἐστιν ἀληθῶς τετράγωνον καὶ μὴ ἄνισον, ὡς γὰρ ἐκεῖσε γεγενῆσθαι εἰρήκαμεν, οὕτως ἐνταῦθα ἡ μία πρὸς τὴν μίαν ἐρωτᾶται πλευρὰ καὶ ὁ σχοινισμὸς [πο]λυπλασιάζεται καὶ ὁ πολυπλασιασμὸς μεσάζεται καὶ τὸν ἐντελῆ μοδισμὸν ἀποφέρεται. ὅμως καὶ πάλιν χάριν πλείονος καταλήψεως τετράγωνα σχήματα τῇ γραφῇ σοι ἐκθήσομεν καὶ τοῦ μέτρου τὴν γνῶσιν δηλώσομεν· κἂν δὲ ταυτότης τὸ πρᾶγμα δοκῇ, ὅτι καὶ ἄνω καὶ ὧδε περὶ τετραγώνων διδάσκοντες λέγομεν — ὁ γὰρ κύκλος καὶ τὸ τετράγωνον διὰ τῶν αὐτῶν συμψηφίζεται — τέως ἐπεὶ τὸ [πολ]λάκις λεγόμενον περισσοτέραν ἐργάζεται εἴδησιν, ὄκνῳ πρὸς τὴν διδασκαλίαν οὐδὲ τὸ παράπαν χρησόμεθα. ἔχει δὲ οὕτως καὶ ταῦτα κατὰ δὲ ταῦτα καὶ τὰ τούτοις παρόμοια καὶ ἰσόπλευρα·

2-4 εἰκοσιπεντάκις ... τιβ' c''] in fig. inscr. D - 5 τούτῳ τῷ τρόπῳ] τοῦτον τὸν τρόπον D - 7 τετραγωνίζονται] τετραγωνιζόμενα D - 12 ἰσάζουσι] εἰδήζουσι D - 15 ἑαυτοῦ] ἐμαυτοῦ D


Δωδεκάει ιβ'· ρμδ', τὸ ἥμισυ τῶν ρμδ'· οβ', καὶ ἔστι μοδίων [οβ'].





Οὗ αἱ δύο καὶ αἱ δύο ἰσόπλευροι. ὀκτάει δ'· λβ', τὸ ἥμισυ τῶν λβ'· ις', καὶ ἔστι μοδίων ις'.




Οὗ αἱ δύο ἰσόπλευροι, αἱ δὲ δύο ἄνισοι. ὁ πούς ὑπάρχει περιττὸν ὡς πρὸς τὴν κεφαλὴν ἀριθμῶν β' καὶ δανείζει αὐτὸν τὸν ἕνα καὶ γινόμενα ἀμφότερα ἀνὰ ε', πεντάει δ'· κ', τὸ ἥμισυ τῶν κ'· ι', καὶ ἔστι μοδίων ι'.




Ἐνδεκάει ἕνδεκα· ρκα', τὸ ἥμισυ τῶν ρκα'· ξ'c'', καὶ ἔστι μοδίων ξ'c''.





[Δύο περιττεύει τοὺς] ἀριθμοὺς ὁ πούς ὡς πρὸς τὴν κεφαλήν, καὶ δύο ἡ μία πλευρὰ ὡς πρὸς τὴν ἄλλην, ἐπιμοιράζουσιν ἀλλήλων τοὺς περιττοὺς καὶ γίνονται ἡ κεφαλὴ καὶ ὁ πούς ἀνὰ ς', αἱ [δύο πλευραὶ ἀνὰ] ε', καὶ ἐρωτᾷς πάλιν· [πεντάει ς'· λ'], τὸ ἥμισυ τῶν λ'· [ιε', καὶ] ἔστι μοδίων ιε'.

Οὗ αἱ τρεῖς πλευραὶ ἰσόμετροι. τέμνεται ἡ μία πλευρὰ εἰς δύο καὶ τὸ ἥμισυ λογίζεται εἰς κεφαλήν, τὸ δὲ ἥμισυ

1-2 in fig. inscr. D - 3-5 ὀκτάει ... ις'] in fig. inscr. D - 7-21 ὁ πούς ... ιε'] in fig. inscr. D - 22-23 in fig. inscr. D







εἰς πόδα ἔχοντες ἀνὰ ἀριθμοὺς γ', καὶ ἐρωτᾶται ἐξ ἰσότητος· γ' ς'· ιη', τὸ ἥμισυ τῶν ιη'· θ', καὶ ἔστι μοδίων θ'.

Οὗ αἱ δύο ἴσαι, ἡ δὲ μία ἐλάσσων. τέμνεται ἡ ἐλάσσων ἡ μία εἰς κεφαλὴν καὶ πόδα ἔχοντες ἀνὰ ἀριθμοὺς β', καὶ ἐρωτᾶται ἡ μία πλευρὰ ὡς πρὸς τὴν τυπωθεῖσαν εἶναι κεφαλήν· β' ζ'· ιδ', τὸ ἥμισυ τῶν ιδ'· ζ'.


Κατὰ ταῦτα τὰ σχήματα μόνα τὸν δοκοῦντα κύκλον, τὸ τετράγωνον καὶ τὸ τρίγωνον καὶ τὰς τούτων ἑκάστου διαφοράς, καθ' ἃς πρὸς ἄλληλά τε καὶ πρὸς ἑαυτὰ διαφέρουσιν, οἱ μετροῦντες μετροῦσι τὴν γῆν καὶ τοῦ μοδισμοῦ τὸ ποσὸν ἐρωτώμενοι λέγουσι. διαφέρουσι γὰρ ταῦτα οὐ μόνον πρὸς ἄλληλα ἐν τῷ εἶναι τὸ μὲν τῷ δοκεῖν κύκλον, τὸ δὲ τετράγωνον, τὸ δὲ τρίγωνον, ἀλλὰ καὶ αὐτὰ πρὸς ἑαυτὰ τὰ τετράγωνα καὶ τὰ τρίγωνα ἐν τῷ εἶναι ἄλλα μὲν τούτων ἰσόπλευρα, ἄλλα δὲ ἑτερώμενα καὶ ἀνισόπλευρα ὁπωσδήποτε. τούτων δὲ οὕτως ἐχόντων δοκεῖ τῶν ἄλλων ἁπάντων σχημάτων πρὸς τὴν παροῦσαν ὑπόθεσιν ὥσπερ κανόνα τὴν φύσιν τοῦ τετραγώνου τυγχάνειν. ἐπείπερ κἂν εἴ τι τῶν εἰρημένων σχημάτων εὑρίσκωνται, οὐκ ἄν ποτε μοδισθῇ εἰ μὴ πρότερον τετραγωνισθῇ εἴτε κατ' ἴσας πλευρὰς τετραγώνου εἴτε κατ' ἴσας τὰς δύο καὶ δύο, ὡς ἄνωθεν σαφηνίζοντες εἴπομεν. ἐπεὶ δὲ πολλάκις ἡ θέσις τοῦ τόπου καὶ ἄλλας ποιεῖται διαφορὰς καμπυλοειδεῖς τε καὶ πολυγράμμους ἀπὸ τῆς εὐθείας παρεκκλινούσας εἰς ἕτερον <μέρος> — εὐθὺ γὰρ ἐν πᾶσι τὸ μὴ κεχρημένον εἰλήμασι καὶ ποικίλον τὸ μὴ κεχρημένον εὐθύτητι —, καθὼς ἐκ πολλῶν ὀλίγα ἐνταῦθα κατεγραψάμεθα στοχασάμενοι, οὐ λανθάνει οὐδὲ ἐπὶ τούτων τὸ ἔθιμόν τε τῆς πράσεως, καὶ <ἔστι> πρὸς διάγνωσιν ἀσφαλτὸν τοῖς μὴ ποικίλλουσι τὴν γνώμην καὶ πολὺ τοῦ καλοῦ παρεκ[βαί]νουσι. διαμερίζονται γὰρ παρ' αὐτῶν

1-3 in fig. inscr. D - 4-8 τέμνεται ... ζ'] in fig. inscr. D - 22, 23 κατ' ἴσας] κατ' ἴσους D - 31 ποικίλλουσι] ποικίλων D


τὰ ποικίλα καὶ διάφορα τετράγωνα καὶ τρίγωνα σχήματα εἴτε εἰς διάφορα τρίγωνα μόνα, [εἴτε] εἰς τετράγωνα μόνα, καθὼς ἂν ἡ θέσις τοῦ τόπου παράσχῃ καὶ [ἡ] τελειότης τοῦ μετροῦντος στοχάσηται, καὶ οὕτως τὸ ἐν τόπιον εἰς [ἕτε]ρα τμήματα καὶ σχημάτων εἴδη διαιρέθῃ τε καὶ μετρήθῃ. ἐκ τ[ούτου] τῷ ἀκριβολογοῦντι τὴν ἀκριβῆ κατεργάζεται εἴδησι[ν].





Πολύγραμμον εἰς δύο τετράγωνα τέμνεσθαι ὀφεῖλον, ἤγουν εἰς ἰσόπλευρον καὶ εἰς ἑτερόπλευρον, τούτων τὸ ἑτερόπλευρον μοδίων ις΄, τὸ δὲ ἰ[σόπλευρον] μοδίων η΄.




Πολύγραμμον εἰς τετράγωνον καὶ τρίγωνον τέμνεσθαι ὀφεῖλον, τὸ τετράγωνον μοδίων ιβ΄c΄΄, τὸ τρίγωνον μοδίων ς΄δ΄΄ ἤγουν λιτρῶν ι΄.




Τὸ πᾶν μέτρον τοῦ κύκλου ἔστω ὅτι σχοινία ξα΄. πεντεκαιδεκάει ιε΄c΄΄· σλβ΄c΄΄, τὸ ἥμισυ τῶν σλβ΄c΄΄· ρις΄δ΄΄, καὶ ἔστι μοδίων ρις΄δ΄΄ ἤγουν λιτρῶν ι΄.




Γίνονται αἱ μὲν δύο <πλευραὶ> ἀνὰ ι΄, αἱ ἕτεραι δύο ἀνὰ ι΄c΄΄, καὶ ἐρωτᾶται· δεκάει ι΄c΄΄· ρε΄, τὸ ἥμισυ τῶν ρε΄· νβ΄ c΄΄, καὶ ἔστι μοδίων νβ΄ c΄΄.


Ταῦτα μὲν οὕτως διαγινώσκεταί τε καὶ ἀποδίδοται, ὁπηνίκα μετὰ δεκαοργυίου σχοινίου ἡ ἀναμέτρησις καὶ ὁ συμψηφι-

1 τὰ ποικίλα καὶ] τὴν ποικίλην ὡς D - 8-25 in fig. inscr. D - 10, 11 ἑτερόπλευρον] ἑτερόμικρον D - 27 δεκαοργυίου] δεκαοργύας D




σμὸς γίνεται, καὶ οὕτως τὸ ἀναβιβασθὲν ποσὸν τῶν σχοινίων ἐκ τοῦ συμβαίνοντος πολυπλασιασμοῦ διὰ τῆς ἐπερωτήσεως τῶν σχοινίων καὶ τοῦ μεσασμοῦ αὐτῶν τὸν ἐντελῆ μοδισμὸν ἀποδίδωσιν. ὁπηνίκα δὲ οὐχ ὡς πρὸς μέτρον καὶ πολυπλασιασμὸν σχοινίων ὁ συμψηφισμὸς ἐκτετέλεσται, ἀλλ' ὡς πρὸς μέτρον καὶ ἀναβιβασμὸν πολυπλασιασμοῦ ὀργυιῶν, τηνικαῦτα οὐχ ὥσπερ ἐπὶ τῶν σχοινίων οὕτως καὶ ἐνταῦθα γίνεται καὶ μέσον τὰ πολυπλασιασθέντα τέμνονται, ἀλλ' αἱ διακόσιαι τοῦ πολυπλασιασμοῦ ὀργυιαὶ μοδίου ἐκφέρουσι γῆν. κἂν εἰς πλῆθός τι πάμπολυ κορυφωθῶσιν αἱ ὀργυιαί, ἔστιν ἰδεῖν κατὰ διακοσίας ἁπλῶς ὀργυιὰς μοδίου ἑνὸς ἀριθμουμένου γῆν.

Οἷον ἔστωσαν αἱ τέσσαρες πλευραὶ ἀνὰ ὀργυιῶν ν΄. ἐρωτωμένων οὖν ἐνταῦθα τῶν ν΄ ὀργυιῶν τῆς μιᾶς ὡς πρὸς τὰς ν΄ τῆς ἑτέρας πλευρᾶς, δύο χιλιάδων πεντακοσίων ἀναβιβαζομένων, ἁπλῶς κατὰ διακοσίας ὀργυιὰς [μεριζομέν]ων ἀποδίδοται καὶ λέγεται εἶναι αὕτη ἡ ἅπασα γῆ μοδίων ιβ΄c΄΄. [. . . . . . ἐ]ν τούτοις ἔχει οὕτως ἐφεξῆς καὶ πρὸς τὰ λοιπὰ τοῦ μὲν [. . . . .] τοῦ μοδίου ἀντὶ λιτρῶν μ΄ παραλαμβανομένου ἐπιβάλλει ι΄ [λίτρας τοῦ] μοδίου ὀργυιαῖς ν΄, καὶ ἑκάστῃ ὀργυιᾷ τὸ πέμπτον τῆς λίτρας, ἐφ' ὅσον μεμερίσται [εἰ]ς οὐγγίας ὁμοῦ καὶ ἑξάγια.




[Τῶν ὀργυιῶν ἡ ἐ]ρώτη[σίς ἐστιν·] εἰκοσάκις ι΄· σ΄, καὶ οὐ τέμνονται, ἀλλ' ἔστιν ἁπλῶς μοδίου α΄.




Ὀκτωκαιτεσσαρακοντάκις μη΄· ͵βτδ΄, καὶ ἔστι μοδίων ια΄c΄΄ λιτρῶν c΄΄ε΄΄ι΄΄, ἑκάστου μοδίου ὀργυιὰς σ΄ ἔχοντος.

15 δύο χιλιάδων] διὰ τῆς D - 26 ͵βτδ΄] ͵αϡκ΄ D - 27 ια΄] θ΄ D - c΄΄ ε΄΄ ι΄΄] δ΄ D - 28 ὀργυιὰς] ὀργυιαὶ D



## II. 7

Γεωμετρικόν.

Χρὴ γινώσκειν, ὅτι ὀφείλει ἔχειν τὸ σχοινίον, μεθ' οὗ ὀφείλεις μετρεῖν, ὀργυιὰς ι',
ἡ δὲ ὀργυιὰ ὀφείλει ἔχειν σπιθαμὰς θ' δ'',
ἡ σπιθαμὴ πυγμὰς τρεῖς ἤτοι γρόνθους,
ἡ παλαιστὴ ἔχει δακτύλους δ', ὅπερ τέταρτόν τινες καλοῦσι διὰ τὸ τέσσαρας δακτύλους ἔχειν,
ἡ δὲ σπιθαμὴ ἔχει παλαιστὰς τρεῖς ἤγουν δακτύλους ιβ',
ἡ δὲ ὀργυιὰ ἔχει σπιθαμὰς θ', ἤγουν παλαιστὰς κζ', δακτύλους ρη' τοῦ δωδεκαοργυίου σχοινίου. εἰ δέ ἐστι τὸ <σχοινίον> δεκαόργυιον, ὀφείλει ἔχειν ἑκάστη ὀργυιὰ σπιθαμὰς θ' δ'', ἤγουν παλαιστὰς κη' ἤτοι τέταρτα κη', δακτύλους ριβ'.
ὁ μόδιος τοῦ δωδεκαοργυίου σχοινίου ἔχει ὀργυιὰς σπη',
καὶ ὁ μόδιος τοῦ δεκαοργυίου σχοινίου ἔχει ὀργυιὰς σ'.
ὁ δὲ μόδιος τοῦ μέτρου ὀφείλει ἔχειν λίτρας μ', ἤγουν ταγάρια η' ἀνὰ λίτρας ε'. ὁ δὲ μόδιος ἀναβιβαζόμενος ἀπὸ τῶν λεπτῶν λογαριάζεται οὕτως· ε' μ'· σ', καὶ ἔστι μόδιος.
ἡ γὰρ λίτρα τὸ γένημα ἐμβαίνει εἰς τὰς ε' ὀργυιάς, ἡ γὰρ λίτρα δέχεται ὀργυιὰς ε', τὰ γὰρ δ' δεκάλιτρα ἀνὰ ν' δέχονται ὀργυιάς.
ἐπὶ δὲ τοῦ δωδεκαοργυίου σχοινίου δέχεται ὁ μόδιος ὀργυιὰς σπη',
ἡ λίτρα δέχεται ὀργυιὰς ζ' σπιθαμὴν μίαν καὶ κυνόστομον,
τὰ γὰρ δ' δεκάλιτρα δέχονται ἀνὰ ὀργυιὰς οβ'.

Καὶ ὀφείλεις οὖν ἐπὶ μήκους τόπου πολλοῦ ποιεῖν τὸ σχοινίον ὀργυιὰς κ' καὶ ἁπλῶς καθώς ἐστι διπλοῦν αὐτά, καὶ οὐκ ὀφείλεις ἀπομεσάζειν εἰς τὴν δευτέραν φοράν, ἀλλ' οὖν, ὅσ' ἂν ἀναβιβασθῶσιν, ὀφείλεις ἐπιδιδόναι ἑκάστῳ μοδίῳ ὀργυιὰς σπη', εἴπερ ἐστὶ δωδεκαόργυιον τὸ σχοινίον, εἰ δὲ δεκαόργυιον ὀφείλεις ἐπιδιδόναι ἑκάστῳ μοδίῳ ὀργυιὰς σ'.

9 κζ'] ιζ' G - 12 κη'[1]] ιη' G - 18 μόδιος] μόδιον G - 22 δωδεκαοργυίου] δωδεοργυίου G - δέχεται] δ' δέχεται G - 29 ὅσ' ἂν] ὅσα G - ἐπιδιδόναι] ἐπιδόναι G



Οὐ γὰρ κατὰ ἑνὸς μέτρου πάντα τὰ θέματα τὴν ἀρόσιμον γῆν μετρῶσιν, ἀλλ' ὥσπερ ἐπὶ τῶν ἀμπελίων ἓν ἕκαστον μέτρον ἐν ἑνὶ ἑκάστῳ θέματι ὑπάρχει, οὕτω καὶ ἐπὶ τῶν χωραφίων. εἰ γὰρ ἔχει ἔθιμον ὁ τόπος τοῦ ποιεῖν σωκάριον δωδεκαόργυιον, θ' σπιθαμῶν καὶ δ'' ὀφείλεις ποιεῖν τὴν ὀργυιὰν καὶ δέχεται ὁ μόδιος ἐπὶ τῶν τοιούτων τόπων ὀργυιὰς σ'.

<Ἐ>πειδὴ καὶ τὸ μέτρον τῶν λιβαδίων κατὰ ἑνὸς μέτρου μετρεῖται καθὼς καὶ ἐπὶ τῶν χωραφίων καθὼς εὑρίσκεται ὁ τόπος, ὥσπερ γὰρ λέγεις·

Ἔχει τὸ τοιοῦτον χωράφιον σχοινία γ', ἤγουν ἡ κεφαλὴ καὶ ὁ πούς σχοινία γ', ὁμοῦ σχοινία ς', τὸ ἥμισυ αὐτῶν σχοινία γ', καὶ τὰ δύο πλάγια ἀνὰ σχοινία ε', ὁμοῦ σχοινία δέκα, ἅπερ διαιροῦμεν μέσως καὶ γίνονται σχοινία ε', καὶ ἐρωτᾷς οὕτως· ε' τρεῖς· ιε'. καὶ εἰ μέν ἐστι χωράφιον, ἔστι μοδίων ζ' c'', διότι τὸ ἥμισυ τῶν ιε' ἐστὶ μοδίων ζ' c'', εἰ δέ ἐστι λιβάδιον, ἔστι μοδίων ιε'. καὶ ἐμβαίνουν εἰς τοῦ λιβαδίου τὸν μόδιον ὀργυιαὶ ρ', εἰ δὲ ἐπὶ τῶν χωραφίων ὀργυιαὶ σ'. αἱ γὰρ παρακείμεναι ὀργυιαὶ τὸ σωκάριον ποιοῦσιν ὀργυιῶν ρ'. καὶ αἱ ͵α ὀργυιαὶ ποιοῦσι μόδια ε' καὶ ἡ μυριοντὰς μόδια ν' τῶν ἀνὰ σ' ὀργυιῶν ὁ μόδιος. καὶ τοῦ δωδεκαοργυίου σχοινίου αἱ ͵α ὀργυιαὶ ποιοῦσι μόδια γ' c'' καὶ ἡ μυριοντὰς μόδια λε'.


Καὶ ἄκουσον πῶς μέλλεις μετρεῖν τὰ τοιαῦτα χωρία· ἔχει τὸ πλάτος τῆς κεφαλῆς σχοινία ι' καὶ ὁ πούς σχοινία ι', ὁμοῦ σχοινία κ', τὸ ἥμισυ αὐτῶν σχοινία ι'. τὸ δὲ μῆκος ἤγουν τὰ δύο πλάγια ἀνὰ σχοινία ιβ', ὁμοῦ κδ', τὸ ἥμισυ αὐτῶν σχοινία ιβ', καὶ ἐρωτᾷς οὕτως· δεκάει δώδεκα· ρκ', τὸ ἥμισυ αὐτῶν· ξ', καὶ ἔστιν ἡ γῆ μοδίων ξ'. εἰ δὲ ὀφείλεις λεπτομερῆσαι αὐτὰ εἰ ὦσιν αἱ ὀργυιαί, λογίζεις οὕτως· ἔχει ἡ κεφαλὴ σχοινία ι' ἤγουν ὀργυιὰς ρ' καὶ ὁ πούς ὁμοίως σχοινία ι' ἤγουν ὀργυιὰς ρ', ὁμοῦ ὀργυιαὶ σ', τὸ ἥμισυ αὐτῶν ὀργυιαὶ ρ'. καὶ τὰ πλάγια ἀνὰ σχοινία ιβ' ἤγουν τοῦ ἑνὸς μέρους ὀργυιὰς ρκ' καὶ τοῦ ἑτέρου μέρους ὀργυιὰς ρκ', ὁμοῦ ὀργυιαὶ σμ', τὸ ἥμισυ αὐτῶν ὀργυιαὶ ρκ', καὶ ἐρωτᾷς οὕτως· ρ' ρ'· α̈, καὶ ρ' κ'· ͵β, ὁμοῦ α̈ ͵β, καὶ ἔστι γῆ μοδίων ξ', ἑκάστῳ γὰρ μοδίῳ εἰσέρχονται ὀργυιαὶ

16 μοδίων[2]] σχοινίων G - 31 ρ'] ε' G - 34 μέρους[1]] μέτρου G

σ', καὶ λογαριάζεται ξ' σ'· ἄ,β, καὶ ἔστιν ἡ γῆ μοδίων ξ'. ὁ δὲ μόδιος λογαριάζεται λιτρῶν μ', καὶ στοιχεῖ ἑκάστη λίτρα ὀργυιῶν ε'.

Ἔχει τὸ πλάτος τῆς κεφαλῆς σχοινία δ' καὶ ὁ πούς σχοινία ς', ὁμοῦ σχοινία ι', τὸ ἥμισυ αὐτῶν· σχοινία ε'. τὸ μῆκος ἤγουν τὸ ἓν πλάγιον σχοινία ιβ', καὶ τὸ ἕτερον σχοινία ιη', ὁμοῦ σχοινία λ', τὸ ἥμισυ αὐτῶν· σχοινία ιε', καὶ εἰπὲ οὕτως· ε' ιε'· οε', τὸ ἥμισυ αὐτῶν· λζ'c''. εἰ δέ εἰσιν ὀργυιαὶ πάλιν οὕτως· ἔχει ἡ κεφαλὴ ὀργυιὰς δ' καὶ ὁ πούς ὀργυιὰς ς', ὁμοῦ ὀργυιαὶ ι', τὸ ἥμισυ αὐτῶν· ὀργυιαὶ ε'. τὸ ἓν πλάγιον ὀργυιὰς ιβ' καὶ τὸ ἕτερον ὀργυιὰς ιη', ὁμοῦ ὀργυιαὶ λ', τὸ ἥμισυ αὐτῶν· ιε', καὶ λογαριάζεις· ιε' ε'· οε', καὶ ἔστιν ἡ γῆ λιτρῶν ιε'. ὡς γὰρ προείπομεν, ἑκάστης λίτρας ὀργυιαὶ ε' ψηφίζονται.

Ἔχει ἡ κεφαλὴ σὺν τοῖς ποσὶ σωκάρια ν', τὸ ἥμισυ τῶν ν'· σωκάρια κε', τὰ δύο πλάγια σχοινία κε', τὸ ἥμισυ τῶν κε'· σωκάρια ιβ'c'', καὶ εἰπὲ οὕτως· κ' ι'· σ', καὶ κ' β'· μ', καὶ ε' ι'· ν', καὶ ε' β'· ι', καὶ τὸ ἥμισυ τῶν κε'· ιβ'c'', ὁμοῦ τιβ'c'', τὸ ἥμισυ τούτων· ρνς' καὶ δ'', καὶ ἔστιν ἡ γῆ μοδίων ρνς'δ'', τὸ δὲ δ'' ἐστι λιτρῶν ι'.




Ἐὰν εὕρῃς βουνίον κάτω πλάτος ἔχον, ἄνω δὲ ὀξύτητα καὶ εἰς κάμπον κείμενον, ὀφείλεις πρῶτον μετρεῖν γύρωθεν τὸ τοιοῦτον βουνίον καὶ εὑρήσεις τὸν γῦρον ἔχοντα σχοινία π', ἐξ ὧν τὰ μ' κράτησον, τὰ δὲ μ' ἔασον. μέτρησον δὲ τὸ τοιοῦτον σταυροειδῶς, καὶ ἐὰν ἔχῃ ἀπὸ κεφαλῆς μέχρι ποδῶν σχοινία ξ', μέσασον αὐτὰ καί εἰσι λ', καὶ εἰπὲ οὕτως· λ' μ'· ͵ασ', καὶ τὰ ἡμίση αὐτῶν εἰσι

2 μ'] ,β G - 20 σωκάρια] σωκαρίων G - 25 ι'] ε' G




χ', καὶ ἔστιν ἡ γῆ μοδίων χ'.

Ἔχει ἡ κεφαλὴ σχοινία γ' καὶ ὁ πούς σχοινία ζ' ὀργυιὰς δ', τὸ ἥμισυ αὐτῶν· σχοινία ε' ὀργυιαὶ β'. τοῦ δὲ μήκους τὸ ἓν μέρος σχοινία ιγ' καὶ τὸ ἕτερον σχοινία ιζ', ὁμοῦ σχοινία λ', τὸ ἥμισυ τούτων· σχοινία ιε', καὶ εἰπέ· ιε' ε'· οε', τὸ ἥμισυ αὐτῶν· λζ'c'', καὶ ἔστιν ἡ γῆ μοδίων λζ'c''. εἰσὶ δὲ καὶ ὀργυιαὶ β', καὶ ὀφείλεις ἐρωτᾶν τὰ ιε' σχοινία ἤτοι ὀργυιὰς ρν', καὶ εἰπέ· β' ρν'· τ', καί εἰσιν οἱ τῶν ὀργυιῶν μόδιοι α' c'', καί εἰσιν ἀμφότερα μόδια λθ'.

Ἔχει ἡ κεφαλὴ σὺν τοῖς ποσὶ σχοινία ξ', τὸ ἥμισυ τούτων· σχοινία λ', ὁμοίως καὶ τὰ δύο πλάγια σχοινία ξ', τὸ τούτων ἥμισυ· σχοινία λ'. τότε λογαριάζεις ὡς ἀπὸ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς καὶ τῶν δύο πλαγίων· λ' λ'· ϡ', ἔπειτα κόψας αὐτὰ μέσον γίνεται σχοινία υν', καὶ ἔστιν ἡ τοιαύτη γῆ μοδίων υν'.

Τὸ τοιοῦτον χωράφιόν ἐστι τρίγωνον, ὃ λέγεται παρὰ τοῖς ἀρχαίοις παράσκελον, οὕτινος τὰ δύο πλάγια ἔχουσι σχοινία λς', ὧν τὸ ἥμισυ· σχοινία ιη', καὶ ὁ πούς σχοινία ιβ', ὧν τὸ ἥμισυ· σχοινία ς', καὶ λέγεις οὕτως· ιη' ς'· ρη', τὸ ἥμισυ τούτων· νδ', καὶ ἔστιν ἡ γῆ μοδίων νδ'.




Ἕτερον χωράφιον λιβάδιον. ἔχει ἡ κεφαλὴ σχοινία η' καὶ ὁ πούς σχοινία η', ὁμοῦ σχοινία ις', τὸ ἥμισυ τούτων· σχοινία η'· ὡσαύτως καὶ τὸ ἓν πλάγιον ἤτοι τὸ μῆκος σχοινία θ' καὶ τὸ ἕτερον σχοινία θ', ὁμοῦ σχοινία ιη' καὶ τὸ τούτων ἥμισυ· σχοινία θ'. εἶτα λογαριάζεις· η' θ'· οβ'. καὶ εἰ μέν ἐστιν ἡ θέσις τοῦ τόπου λιβάδιον, χρὴ λέγειν, ὅτι ἐστὶν ἡ γῆ μοδίων οβ' — εἰ δὲ ἐστ χωράφιον, λογαριάζεις τὸ ἥμισυ τῶν οβ'· λς', καὶ ἔστι ἡ γῆ μοδίων λς' —, διότι τοῦ λιβαδίου τὸ μέτρον δέχετα ὁ μόδιος ὀργυιὰς ρ'.

10 οἱ] αἱ G

Τὸ τοιοῦτον στρογγύλον χωράφιον διὰ μέσου τοῦ τόπου μετρούμενον τῇ σπάρτῃ, ἤγουν <ἐὰν> τὸ σχοινίον ἁπλοῦν, τριπλοῦν ἔχει τὸν γῦρον, ἤγουν ἐὰν τὸ σχοινίον πήχην α'. ἔστιν ὁ γῦρος πηχῶν γ', εἰ δὲ ἔχει τὸ διάμετρον τοῦ μέσου τόπου πήχας τρεῖς, ἔχει ὁ γῦρος πήχας θ', εἰ δὲ πάλιν ἔχει διὰ μέσου πήχας ι', ἔχει ὁ γῦρος πήχας λ' καὶ καθεξῆς· ἐάν ἐστι διὰ μέσου πηχῶν ρ', ἔστιν ὁ γῦρος πηχῶν τ'. καὶ λογαρίαζε πρῶτον οὕτως· γ' α'· γ', καὶ ἔστιν ὁ τόπος μοδίου α', καὶ πάλιν λέγεις· γ' γ'· θ', καὶ ἔστιν ὁ τόπος μοδίων γ', καὶ πάλιν λέγεις· γ' ι'· λ', καὶ ἔστιν ὁ τόπος μοδίων ι', καὶ πάλιν λέγεις· γ' λ'· 𐅵', καὶ ἔστιν ὁ τόπος μοδίων λ', γ' ρ'· τ', καὶ ἔστιν ἡ γῆ μοδίων ρ'. εἰ δέ τι ποιήσεις ὥσπερ σφήναν μέσον τοῦ κύκλου, εἰ μὲν ἡ σπάρτη ἔχει πήχας ι', γίνωσκε, ὅτι ἐστὶ γυρωειδῶς πηχῶν ξ' καὶ ἔστι μοδίου.

Ἔχει ἡ κεφαλὴ τοῦ τοιούτου χωραφίου ὀργυιὰς κ' καὶ ὁ πούς ὀργυιὰς ι' καὶ τὸ ἔσωθεν τοῦ ἑνὸς γύρου ἤγουν τοῦ ἄνωθεν μέρους ὀργυιὰς λ', ὁμοῦ ὀργυιὰς ξ', τὸ ἓν πλάγιον ὀργυιὰς ρ', τὸ δὲ ἕτερον πλάγιον ὀργυιὰς <π', ὁμοῦ ὀργυιὰς> ρπ', τὸ ἥμισυ τῶν ξ'· λ', καὶ τὸ ἥμισυ τῶν ρπ'· 𐅵', καὶ λογαρίαζε· λ' 𐅵'· ,βψ', καὶ ἔστιν ἡ γῆ μοδίων ιγ'c'', ἤγουν ἑκάστῳ μοδίῳ ὀργυιὰς σ'. καὶ λογαρίαζε οὕτως· ι' σ'· ,β, γ' σ'· χ', καὶ τὸ ἥμισυ τοῦ μοδίου· ὀργυιαὶ ρ', ὁμοῦ ὀργυιαὶ ,βψ'.

Τὸ τοιοῦτον χωράφιον μετὰ δωδεκαοργυίου σχοινίου ὀφείλει μετρεῖσθαι διὰ τὸ ἀναβαίνειν καὶ καταβαίνειν καὶ ἔχον ξῦστρα καὶ ῥύμας καὶ κρημνὰ καὶ δάση, εἶτα ἀποδεκατίζεσθαι καὶ μετὰ ταῦτα μοδίζεσθαι. τὸ πλάτος τῆς κεφαλῆς τοῦ τοιούτου χωραφίου ἔχει ὀργυιὰς λ' καὶ ὁ πούς ὀργυιὰς οδ', ὁμοῦ ὀργυιὰς ρδ', τὸ ἥμισυ τούτων ὀργυιὰς νβ', καὶ τὸ ἓν μέρος ὀργυιὰς ρλ', τὸ δὲ ἕτερον ὀργυιὰς ρο', ὁμοῦ ὀργυιὰς τ', τὸ ἥμισυ τούτων· ὀργυιὰς ρν', καὶ εἰπὲ οὕτως·

3 τὸ] τὰ G - 6 εἰ δὲ πάλιν] ἡ δὲ πάλιν εἰ δὲ πάλιν G - 12 𐅵'] ς' G - 17, 26 G praebet spatium, figura autem deest



ν' ρ'· ,ε, καὶ ν' ν'· ,βφ', καὶ β' ρ'· σ', καὶ β' ν'· ρ', ὁμοῦ ,ζω'. καὶ λογαρίαζε· σ' λ'· ,ς, καὶ σ' θ'· ,αω', καὶ ἔστιν ἡ γῆ μοδίων λθ'.

Ἐὰν δὲ εὕρῃς χωράφιον χιλιάδιον καὶ μέσον ἔχει ἔνδοθεν πέτραν στεφανιαίαν, ὀφείλεις μετρεῖν τὸ ὅλον γύροθεν καὶ ἀναβιβάζειν γῆν ,α μοδίων καὶ τότε ἐμβαίνειν ἔσωθεν καὶ μετρεῖν γύροθεν τὴν πέτραν ἐκείνην καὶ ἀφαιρεῖν αὐτὴν ἀπὸ τῆς χιλιάδος, καὶ τὰ ἐναπομείναντά ἐστιν ἡ καθαρὰ γῆ <τοῦ> χωραφίου.

Τὸ λιβάδιον διὰ τὸ εἶναι αὐτούργιον καὶ καθ' ἕκαστον χρόνον κόπτεσθαι ὀφείλεις μετρεῖν εἰς τὸ ἁπλοῦν. οἷον λογαριάζεις λιβάδιον τὸ δεῖνα ἔχον πλάτος σωκάρια ς' καὶ μῆκος σωκάρια κ' καὶ λογαριάζεις οὕτως· ς' κ'· ρκ', τὸ ἥμισυ τῶν ς'· γ', ὁμοῦ σωκάρια ρκγ', καὶ ἔστιν ἡ γῆ μοδίων ρκγ'.

Ἔστι καὶ τῶν λιβαδιαίων τόπων τὸ μέτρον, ὃ λέγεται ἁπλοῦν, +ἤγουν τὸ α' καὶ β'+, ὀφείλει ἔχειν τὸ σωκάριον ὀργυιὰς ι', κἂν τάχα ἐτυπώθῃ δωδεκαόργυιον. ἀλλὰ διὰ τὸ εἶναι αὐτούργιον τὸν τόπον καὶ ζητεῖσθαι ποιοῦσιν οἱ ἐξερχόμενοι ἀπογραφεῖς τὸ σωκάριον ὀργυιῶν θ', οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ φέρειν προσθήκην εἰς τὸν δημόσιον ἐν τῷ λέγειν, ὅτι εὑρέθη κατὰ περιττεῦον λιβάδιον εἰς τὸ δεῖνα λιβάδιον μοδίων τόσων ἢ ἀνεκφώνητον. τέως δὲ ὀφείλει εἶναι τὸ σωκάριον δεκαόργυιον δικαίῳ μέτρῳ διὰ τὸ εἶναι <τὸν τόπον> πεπυκνωμένον καὶ ἄκοπον εἰς τὴν ἐργασίαν ὡς αὐτούργιον.

Εἰ μὲν οὖν μετρήσεις τὰ τέσσαρα μέρη, ὀφείλεις μεσοκοπῆσαι τὸ ἥμισυ τῶν δύο μερῶν καὶ τῶν δύο, καὶ εἶθ' οὕτως τὰ ἐναπομείναντα ἐπερωτᾶν τὸ ἓν μέρος τὸ ἕτερον, ὅσον <ἂν> ἀναβιβασθῇ, ὀφείλεις λέγειν, ὅτι ἐστὶ λιβάδιον [ἔνυδ]ρον. οὐ δεῖ σε καὶ αὐτὸ δεύτερον μεσοκοπῆσαι καθὼς καὶ ἐπὶ τῶν χωραφιαίων τόπων, ἀλλὰ μίαν, κἄν τε ἄνυδρόν ἐστι κἄν τε ὕπαρδον, καὶ εἰ μέν ἐστι ἄνυδρον καὶ πυκνόν,

1 ,ε] 𐅵' G - 9 χωραφίου] χωράφιον G - 10 τὸ[1]] ἡ G - 11 ὀφείλεις] καὶ ὀφείλεις G - 14 ρκγ'] κγ' G

λογίζεσθαι τοῦτο ἴσον τοῦ ὑποπότου. εὑρίσκεται γὰρ ὑπόποτον καὶ ἔστιν ἄφορον, πολλάκις δὲ καὶ βουτοποιόν, καὶ τὰ τοιαῦτα ὀφείλεις μετρεῖν <μετὰ> δωδεκαοργυίου σχοινίου, ποιήσας ὁμοίως καὶ τὰ ἄνυδρα καὶ κοντὰ καὶ ἄφορα καὶ αὐτὰ μετὰ δωδεκαοργυίου σχοινίου ὡς χυδαῖα καὶ ἄχρηστα καὶ ἀνόμια τῶν κτηνῶν.

Ὅταν ὀφείλεις μετρεῖν κατὰ περιορισμόν, ὅταν περιορίζῃς χωράφιον καὶ τάχα στρογγύλον οὐκ ἔστιν οὔτε πάλιν τετράγωνον οὔτε τρίγωνον, ἀλλὰ ποτὲ μὲν ἀναβαίνει ποτὲ δὲ καταβαίνει καὶ ἔχει σκάλας μυρίας καὶ κρημνὰ καὶ δάση καὶ ξῦστρα καὶ ῥύακας, μετὰ δωδεκαοργυίου <σχοινίου> ὀφείλεις πάντοτε ἑνώνειν καὶ ἀποδεκατίζειν εἰς τύπον τῶν σκολόπων καὶ τῶν ῥυάκων καὶ τῶν ξύστρων καὶ τὸ ἐναπολειφθὲν τετραγωνίζειν καὶ οὕτω μοδίζειν.

Χρὴ γινώσκειν, ὅτι ὁ περιορισμὸς πληθύνει τὴν γῆν, ἡ δὲ κατατομὴ τὸ μέτρον ἐλαττοῖ τὰς δύο μοίρας καὶ ποιήσεις ε′ ἢ ς′ ἢ ι′ καὶ ἑνώσεις τῶν μοιρῶν τὰ πλάγια ἰδίως ἀμφότερα ἔσω. γίνωσκε, ὅτι τριπλασιαζόμενα πληθύνει αὐτά.

## II. 8

[τῆς κεφαλῆς καὶ το]ῦ ποδὸς ἀνὰ σχοινία β′, ὁμοῦ σχοινία δ′, τῶν δύο πλ[αγίων .........]

β′
[ε′] ε′
β′

Σχῆμα σταυροειδές.

β′
[ς′c″] ς′c″
[β′]


Τῆς κεφαλῆς καὶ τοῦ ποδὸς ἀνὰ σχοινία β′, ὁμοῦ σχοινία δ′, τῶν δύο πλαγίων ιγ′, ἔασον τὰ ἡμίση καὶ ἀπομένουσι β′ καὶ ς′c″ καὶ ἐρώτησον οὕτως· β′ ς′·

1 τοῦ] τὸ G - 16 κατατομὴ] κατομὴ G - 20, 21 reliqua desunt, sed Y habet spatium II linearum



ιβ′, καὶ β′ τὸ c″· α′, ὁμοῦ ιγ′, ἄφες τὰ ἡμίση καὶ ἔστιν ὁ τόπος μοδίων ς′c″.

Ἄρμενον. <ἡ> κεφαλὴ καὶ ὁ πούς σχοινία λ′, τὰ δύο πλάγια σχοινία μ′, ὕφελε τὰ ἡμίση καὶ ἀπομένουσι σχοινία ιε′ καὶ κ′. ἐρώτησον οὖν ιε′ κ′· τ′. καὶ εἰ μέν ἐστι τὸ σχοινίον δεκαόργυιον ἔστι μοδίων ιε′, εἰ δὲ δωδεκαόργυιον ἔστι μοδίων ιη′, εἰ δὲ δεκαπεντεόργυιον μοδίων κβ′c″, εἰ δὲ τριακονταόργυιον μοδίων με′, εἰ δὲ ἑκατονταόργυιον μοδίων ρν′. ταῦτα δὲ γνῶθε ἐπὶ ὀργυιῶν ἀναβιβαζομένων ὡς πρὸς τὰ τοῦ σχοινίου τὰ ἀνὰ ι′ ὀργυιῶν συμψηφιζομένου τοῦ μοδίου ἐπὶ τῶν σ′ ὀργυιῶν ὡς εἴρηται.




Ἀλώνιον. μέτρησον τοιοῦτον σχῆμα γύρωθεν, εἶθ' οὕτως· ὕφελε τὰς ξ′ ὀργυιὰς τῶν δύο μερῶν καὶ τὰ ἐπίλοιπα ξ′ ἐρώτησον οὕτως· λ′ λ′· ϡ′, καὶ ἔστιν ἡ γῆ μοδίων δ′c″. εἴ γε μετὰ ὀργυιᾶς μετρηθῇ, ἐκ δευτέρου γὰρ οὐχ ὕφελε ἐν τῇ ὀργυιᾷ.

Δεῖ μετρᾶν ἀεὶ τὸν τόπον τετραόθεν, ἤγουν ἐκ κεφαλῆς, ποδῶν καὶ δύο πλαγίων, καὶ ὅτε εὑρίσκεται τὸ ἓν τοῦ ἑτέρου πλεονάζουν — ἡ κεφαλὴ τοῦ ποδὸς ἢ ὁ πούς τῆς κεφαλῆς —, δανείζειν ὀφείλει τὸ ἓν μέρος τῷ ἑτέρῳ καὶ γίνεσθαι ἀμφότερα ἐξ ἰσότητος, ἤγουν τὰ δύο πλάγια καὶ ἡ κεφαλὴ καὶ ὁ πούς ἓν καὶ ἰσούμενα καὶ ψηφιζόμενα, εἶτα τῶν ἡμίσεων κατασπωμένων εὑρίσκεται τὸ ποσὸν τῆς μετρουμένης γῆς.

Περὶ τοῦ κατασπᾶν δεκατισμὸν ἐν τοῖς μέτροις.

Ἐν δὲ τοῖς ἐπιμήκεσι τόποις καὶ μέτροις καὶ ἔνθα δῆλον ὅτι τόπος ἐστὶ πολὺς καὶ ἀναβιβάζονται πολλὰ σχοινία <κατασπᾶν ὀφείλεις κατὰ ι′ σχοινία> σχοινίον α′. τοῦτο δὲ ποιήσεις διά τε τὰς κάμψεις καὶ τὰς παρεμπιπτούσας ὁδοὺς καὶ τοὺς τράφους καὶ τὰ λοιπά. εἶθ' οὕτως τὰ μετὰ τὴν ὑπεξαίρεσιν τοῦ δεκατισμοῦ ἐναπομένοντα σχοινία διαιρεῖν καὶ ψηφίζειν καθὼς ἐδιδάχθης.

5 ἀπομένουσι] ἀπομένου Y - 7 ἔστι[2]] ἔστιν Υ - 14 τὰς] τὰ Υ - ὀργυιὰς] σχοινία Υ

'Εὰν εὕρης τὸ ὅλον μέτρον τοῦ τόπου σχοινίων ν', ἔασον τὰ ἡμίση [καὶ κόψον τὰ ἡμίση ἤγουν τὰ] ἕτ[ερα] κε' σχοινία μέσον καὶ θὲς μῆκος σχοινία ι[γ'] καὶ πλάτος σχοινία ιβ' καὶ ἐρώτα· ι' ι'· ρ', γ' ι'· λ', β' ι'· κ', β' γ'· ς', ὁμοῦ σχοινία ρνς', τὰ ἡμίση τούτων· σχοινία οβ', καὶ ἔστιν ὁ τόπος μοδίων οβ'.

'Εὰν ἔστι σχοινία ρ', ἔασον ὁμοίως τὰ ν' καὶ τὰ ν' διαίρησον <εἰς> κε' καὶ κε' καὶ ἐρώτησον· κ' κ'· υ', ε' κ'· ρ', κ[αὶ] ε' κ'· ρ', καὶ ε' ε'· κε', ὁμοῦ σχοινία χκε', τὰ ἡμίση τούτων· σχοινία τιβ'𐅵'', καὶ ἔστι[ν] ὁ τόπος μοδίων τιβ'𐅵''.

'Εὰν εὕρης σχοινία φ', ὕφελε τὸν δεκατισμόν, εἰ νοεῖς εἶναι ἐν τῷ μετρουμένῳ τόπῳ ἐξοχάς, ῥυάκια, ἀκανθωτά, πετρωτά, στράτας καὶ τοιαῦτα. ἐν τούτοις γὰρ κατασπᾶται ὁ δεκατισμὸς καὶ ἔνθα μετρ[ᾷς] πολλὰ σχοινία, εἰ δέ ἐστιν ὁ τόπος κάμπος ἴσος καθαρὸς οὐχί, εἰ μήπως θέλεις χειραγωγεῖν τοὺς παραλαμβάνοντας ἢ πάλιν ἐὰν εἰς ὄγκον πολὺν ἀναβιβασθῇ τὸ ποσὸν τῶν σχοινίων. καὶ τέως ἀπὸ τῶν φ' κατάσπασε ὑπὲρ δεκατισμοῦ σχοινία ν' καὶ τὰ υν' δίελε εἰς σκε' καὶ σκε', καὶ εἰπὲ οὕτως· σ' σ'· δ̈, κ' σ'· ,δ, ε' κ'· ρ', ε' κ'· ρ', ε' ε'· κε', ὁμοῦ χιλιάδες μβ' καὶ σκε', ἔασον τὰ ἡμίση καὶ ἀπὸ τῶν ἡμίσεων ἤγουν τῶν κδ' χιλιάδων καὶ ριβ' ὕφελε τὰ ἡμίση, καὶ ἔστιν ὁ τόπος χιλιάδων ιβ' μοδίων νς' καὶ λιτρῶν ι', ὥστε γινώσκειν σε δεῖ, ὅτι ἐπὶ τῶν σχοινίων τοῦ ὅλου μέτρου τὸ τέταρτόν ἐστιν ἡ ποσότης τοῦ μοδισμοῦ τῆς μετρουμένης γῆς, ἐπὶ δὲ τῶν ὀργυιῶν τὸ ἥμισυ.

α'
β' β'
α'

'Ομοῦ σχοινία ς' δεκαόργυια, δίωξον οὖν τὰ ἡμίση καὶ τὰ καταλειφθέντα διαίρησον εἰς β' καὶ α' καὶ εἰπέ· β' α'· β', τὸ ἥμισυ τούτων· ἕν, καὶ ἔστιν ὁ τόπος μοδίου ἑνός. ἐπὶ δὲ τῶν ὀργυιῶν ὕφελε τὰ ἡμίση ἤγουν τὰς λ' ὀργυιὰς καὶ τὰς λ' διαίρησον εἰς ιε' καὶ ιε' καὶ εἰπέ· ι' ι'· ρ', ε' ι'· ν', καὶ ι' ε'· ν', καὶ ε' ε'·

15 πολλὰ] πολλῶν Υ - 19 in marg. Υ ὅρα μέτρον ὁμαδικὸν - σχοινία] σχοινίων Υ - 31 ἕν] μία Υ - 33 καὶ²] ι' καὶ Υ



κε', ὁμοῦ ὀργυιὰς σκε', καὶ πάλιν ἐστὶ μοδίου α' λιτρῶν ε'.

Περὶ λιβαδίου.

Τὸ λιβάδιον τὸ πρῶτον μετρᾶται οὕτως· ἐὰν εὑρεθῶσι σχοινία ρ', ἔα τὰ ν' καὶ τὰ ν' διαίρησον εἰς κε' καὶ κε' καὶ εἰπέ· κ' κ'· υ', ε' κ'· ρ', καὶ ε' κ'· ρ', ε' ε'· κε', ὁμοῦ σχοινία χκε', καὶ οὐ διώκεις ἐξ αὐτῶν τι καθάπερ ἐπὶ τῆς σπορίμης γῆς διὰ τὸ εἶναι αὐτούργως, ἀλλ' οὕτως ὡς ἔχουσι ποσωθῆναι δέχου αὐτά, καὶ ἔστιν οὗτος λιβαδιαῖος τόπος μοδίων χκε'.


Περὶ λιβαδίου κακοῦ.

Εἰ δέ ἐστι τὸ λιβάδιον βούτουμον ἢ ἁλμυρίστρα ἢ τοιοῦτον ἀποίητον, μετρᾶται ὥσπερ καὶ ἡ σπόριμος γῆ ἡ πρώτη ποιότης. οἷον ἐὰν [ἐ]στι σχοινία π', ἔα τὰ ἡμίση καὶ τὰ ἡμίση ἐρώτα· κ' κ'· υ', καὶ ἔα τὰ σ' καὶ ἔστιν ὁ τόπος μοδίων σ'.

Καὶ ἄλλως· [ὀ]φείλεις ἔχειν σχοινία δεκαόργυια, ἵνα ἔχῃ ἡ ὀργυιὰ σπιθαμὰς θ' δ'' ἤγουν γρονθίσματα κη', ἐξ ὧν τὸ πρῶτον μετὰ τοῦ κονδύλου, καὶ ὅρα·

α'
[α'] α'
α'
[γ]ῆ μο[δ]ί-ου [𐅵'']

Ἔχει ἡ κεφαλὴ σχοινίον α', ὁ πούς σχοινίον α', τὰ δύο πλάγια ἀνὰ σχοινίου α', ἔασον τὰ ἡμίση καὶ κράτησον ἀνὰ ἓν καὶ ἀνάλυσον ὡς πρὸς ὀργυιὰς ἀνὰ δέκα, καὶ εἰπὲ οὕτως· ι' ι'· ρ', καὶ ἔστιν ἡ γῆ μοδίου τὸ 𐅵''.



[γ]ῆ μοδίων πεντή[κ]οντα

Ἔχει ἡ κεφαλὴ σχοινία ι', ὁ πούς ὁμοίως ι', τὰ δύο πλάγια ἀνὰ ι', ἔασον τὰ ἡμίση, τὰ δὲ ἡμίση ἤγουν τὰ εἴκοσι κράτησον καὶ δίελε εἰς ι' καὶ δέκα καὶ ἐρώτησον οὕτως· ι' ι'· ρ', ὕφελε τὰ ἡμίση καὶ ἔστιν ἡ γῆ μοδίων πεντήκοντα. ἐπὶ δὲ ὀργυιῶν ἔασον τὰ ἡμίση, καὶ τὰ ἡμίση ἤγουν τὰ εἴκοσι ποίησον ὀργυιὰς διακόσια καὶ δίελε εἰς ρ' καὶ ρ'

4 διαίρησον] διαίρησιν Υ - 16 δεκαόργυια] δεκαόργου Υ - 19 σχοινίον] σχοινία Υ

καὶ ἐρώτησον· ρ' ρ'· ᾱ, καὶ ἔστι πάλιν μοδίων ν', ἐπὶ τῶν σ' ὀργυιῶν ἑκάστῳ μοδίῳ δεχομένων τῶν ὀργυιῶν.

[Χ]ωράφιον οὗ ἡ κεφαλὴ ἔχει σχοινία δ', ὁ ποὺς σχοινία <δ'>, τὰ δύο πλάγια ἀνὰ σχοινίων ε', ἀπόλυσον τὰ ἡμίση καὶ τὰ καταλειφθέντα δ' καὶ ε' εἰπέ· δ' ε'· κ', ἕα τὰ ἡμίση καὶ ἔστιν ὁ τόπος μοδίων ι'. εἰ δ' οὖν ποιήσεις αὐτὰ ὀργυιάς, <ποίησον> τὰ δ' μ' καὶ τὰ ε' ν' καὶ εἰπέ· μ' ν'· ,β, καὶ ἔστι πάλιν μοδίων ι'. καὶ ὅρα ὅτι ἐπὶ μὲν τῶν σχοινίων δὶς ὑφέλεις· πρῶτον τὰ ἡμίση καὶ πάλιν τῶν ἡμίσεων τὰ ἡμίση. ἐπὶ δὲ τῶν ὀργυιῶν οὐχί, ἀλλὰ ἅπαξ τὸ πρῶτον, μετὰ δὲ τὴν διαίρεσιν τῶν ἡμίσεων καὶ τὴν πρὸς ἄλληλα ἐρώτησιν οὐχί, ἀλλ' οὕτως δέχονται ὡς ἔχουσιν ἀναβιβασθῆναι καὶ ποσωθῆναι.

Ὀφείλεις τοίνυν δέχεσθαι εἰς τὰς σ' ὀργυιὰς γῆν μοδίου α', εἰς τὰς <ρ'> ὀργυιὰς μοδίου τὸ c'', εἰς τὰς ε' ὀργυιὰς γῆν λίτραν α' διὰ τὸ εἶναι τὸν μόδιον λιτρῶν μ', ἤγουν ε' μ'· σ'.


Σχήματα ἕτερα·

[ε'c''] ε'c'' [θ']


Τὸ τοιοῦτον σχῆμα ἐκ τῶν τριῶν μερῶν ὀφείλει μετρᾶσθαι καὶ διαβιβάζειν τὸν πόδα τῇ κεφαλῇ καὶ λέγειν· ἡ κεφαλὴ σὺν τῷ ποδὶ σχοινία [θ'] ἤγουν ἀνὰ δ'c'' ἤτοι ἀνὰ ὀργυιὰς με', τὰ δύο πλάγια σχοινία ια' ἤγουν ἀνὰ ε'c'' ἤτοι ἀνὰ ὀργυιὰς νε', καὶ ἐρώτα οὕτως τὰ σχοινία· δ' ε'· κ', τὸ ἥμισυ τῶν δ'· β', καὶ τὸ ἥμισυ τῶν ε' <c''>· β' c'' δ'', ὁμοῦ σχοινία κδ' c'' δ'', ταῦτα μεσαζόμενα γίνονται σχοινία ιβ'δ''η'', καὶ ἔστιν ὁ τόπος μοδίων ιβ' λιτρῶν ιε'. τὸ γὰρ δ'' δεκάλιτρόν ἐστι, τὸ δὲ ὄγδοον πεντάλιτρον. ἐπὶ δὲ τῶν ὀργυιῶν εἰπὲ οὕτως· μ' ν'· ,β, ε' ν'· σν', καὶ μ' ε'· σ', ε' ε'· κε', ὁμοῦ ὀργυιαὶ ,βυο[ε'], αἵτινες ὑπεξαιρούμεναι ἐπὶ τῶν σ' δηλοῦσι τόπον μοδίων ιβ' λιτρῶν ι[ε'].

6 ποιήσεις] ποίησον Υ - 9 δὶς] δεύτερων Υ - 16 γῆν] γῆς Υ - 19 μερῶν] μετρῶν Υ - 27 η''] κ'' Υ






Τοῦτο τὸ σεληνοειδὲς σχῆμα <reliqua desunt>.




Γυρομέτριν σχοινία μ', τὰ ἡμίση σχοινία κ', θὲς μῆκος ι' καὶ πλάτος ι' καὶ εἰπέ· ι' ι'· ρ', τὸ ἥμισυ· σχοινία πεντήκοντα, καὶ ἔστιν ἡ γῆ μοδίων ν'.

Ἐὰν εὕρῃς σχοινία φ', δίωξε ὑπὲρ τῆς δεκάτης σχοινία ν' καὶ λοιπὰ σχοινία υν', θὲς μῆκος σχοινία σκε' καὶ πλάτος σχοινία σκε' καὶ εἰπέ· σ' σ'· δ̈, καὶ κ' σ'· ,δ, καὶ κ' σ'· ,δ, ε' κ'· ρ', καὶ ε' κ'· ρ', καὶ ε' ε'· κε', ὁμοῦ χιλιάδες μη' καὶ σκε', τὸ ἥμισυ· χιλιάδες κδ' καὶ ριβ'c'', καὶ ἔστιν ὁ τόπος γῆ χιλιάδων ιβ' μο[δί]ων νϛ' λιτρῶν ι'.

Μέτρον μεγάλου κτήματος· ἐμετρήθη γῆ κτήματος καὶ εὑρέθησαν σχοινία ,βλη', κατεσπάσθη οὖν ἡ τούτων δεκάτη· σχοινία σδ', καὶ κατελείφθησαν σχοινία ,αωλδ', διῃρέθησαν καὶ ταῦτα καὶ τὰ ἡμίση ἐδιώχθησαν, τὰ δὲ ἡμίση ἤγουν σχοινία ϡιζ' κατελείφθησαν καὶ ἐτέθησαν τὰ υνη'c'' ὡς μῆκος καὶ τὰ υνη'c'' ὡς πλάτος, καὶ εἴπομεν· υ' υ'· ι̅ς̈, υ' ν'· β̈, υ' η'· ,γσ', τὸ ἥμισυ τῶν υ'· σ', τὸ ἥμισυ τῶν νη'c''· κθ'δ'', καὶ πάλιν υ' ν'· β̈, υ' η'· ,γσ', τὸ ἥμισυ τῶν υ'· σ', τὸ ἥμισυ τῶν νη'c''· κθ'δ'', η' η'· ξδ', ὁμοῦ μυριάδες κ' καὶ ,ϛϡκβ'c'' ἤγουν χιλιάδες σϛ' καὶ ϡκβ'c'', τὰ ἡμίση τούτων χιλιάδες ργ' καὶ υξα'δ'', καὶ ἐλογίσθη ὁ

13 μέτρον μεγ. κτ.] Υ f. 227r, om. f. 228v - ἐμετρ. ... καὶ] Υ f. 228v, om. f. 227r - 14 κατεσπ. ... τούτων] Υ f. 228v, om. f. 227r - 15 σχοινία[1]] Υ f. 228v, om. f. 227r - κατελείφθησαν] Υ f. 228v, λοιπὰ f. 227r - 15-18 διῃρ. ... εἴπομεν] Υ f. 228v, τὰ ἡμίση σχοινία ϡιζ', θὲς μῆκος υνη' c'' καὶ πλάτος υνη' c'' καὶ εἰπέ f. 227r - 20 καὶ πάλιν] Υ f. 228v, om. f. 227r - 21 υ' ... ξδ'] Υ f. 228v, υνη'· σξδ' f. 227r - ὁμοῦ] Υ f. 228v, ὁμοῦ σχοινία f. 227r - 22 ,ϛϡκβ' c'' ἤγουν] Υ f. 228v, ,ϛωϟγ' δ'' γινόμενα f. 227r - 22-23 ϡκβ' c'', τὰ] Υ f. 228v, ωϟγ' δ'' τὸ f. 227r - 23 υξα' δ''] Υ f. 228v, υμϛ' c'' κ'' f. 227r - ἐλογίσθη ὁ] Υ f. 228v, ἔστιν f. 227r

τόπος οὗτος γῆ μοδίων χιλιάδων ργ′ καὶ μοδίων τετρακοσίων ἑξήκοντα ἑνὸς τετάρτου.

**II. 9**

Γεωργίου γεωμέτρου περὶ γεωδαισίας.

Γεωδαισία ἐστὶν ἐπιστήμη τῶν ἐν τοῖς αἰσθητοῖς σώμασι μεγέθων καὶ σχημάτων, διαιρετικὴ καὶ συνθετική, ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ δαίω τὸ μερίζω· τῆς γὰρ γῆς ἐστιν μερισμός. δοκεῖ δὲ παρ' Αἰγυπτίων αὐτὴν εὑρεθῆναι διὰ τὴν τοῦ Νείλου χύσιν. ἐπειδὴ γὰρ ἐκχυθέντος τοῦ ποταμοῦ ὡς αἰτήσεως εἴωθεν γίνεσθαι — περὶ γὰρ θερινὰς τροπὰς πληθύνει τέ καὶ ἔχχυται πᾶσαν ἁπλῶς ἀρδεύων τὴν Αἴγυπτον—, τὰ δίκην ὁρίων τιθέμενα τοῖς χωρίοις σημεῖα πρὸς τὸ διαιρεῖν ἀπ' ἀλλήλων τὰ χωρία καὶ ἑκάστῳ διαφυλάττειν τὸ ἴδιον, ἃ μὲν παντελῶς ἀφανίζονται ἃ δὲ πῃ καὶ μετατίθονται, διὰ τὴν βεβαίαν τοῦ ποταμοῦ πλημμύραν τε καὶ φορὰν τῇ γεωδαισίᾳ οἱ ἐκεῖσε ταῦτα διορθοῦν ἐπινενόηνται ταύτην μόνον ὡς ἔοικεν ὑπολειφθέντες ἑκάστῳ τὸ ἴδιον παράσχειν ἀνελειπῶς δυναμένην καὶ πᾶσιν καθάπαξ εἰρήνης καὶ ἀσυγχύτου διαγωγῆς πάντων εἶναι μάλιστα πρόξενον.

Συνέστηκεν δὲ αὕτη ἔκ τε κλιμάτων καὶ σκοπέλων etc. cf. J.L. Heiberg, Heron V pag. CV-CVI.$_{23}$.

Τὰ μὲν οὖν μέτρα τοσαῦτα εὕροι δ' ἄν τις καὶ πλείω ἴσως ἀκριβέστερον περὶ τούτων δὲ ἐξετακώς, ἡμῖν δὲ πρὸ ἡμῶν στοιχίσασι περὶ τῆς γεωδαισίας μέθοδον καὶ τὰ πλεῖα τούτων παραλέληπται. οἱ γὰρ μετὰ τὸν Ἥρωνα μικρᾶς πάντες οὐργιᾶς καὶ σχοινίας ἐχρῶντο, δέκα οὐργιῶν ποσότητος ἀριθμῶν ἀποσώζουσιν, σωκάρια δὲ ταῦτα καλεῖν εἰώθασιν οἱ περὶ τὰ τοιαῦτα δεινοὶ καταμετροῦντες τὴν γῆν. καὶ ἡμεῖς δὲ τοῖς νεωτέροις ἑπόμενοι οὑτωσὶ τὴν τῆς γῆς ἐτάξαμεν

1 τόπος οὗτος] Υ f. 228ᵛ, om. f. 227ʳ - 1-2 τετρ. ... τετάρτου] Υ f. 228ᵛ, υμς′ λιτρῶν κε′ f. 227ʳ - 13 ἑκάστῳ] ἑκάστη I - τὸ] τὸν I - 25 μικρᾶς] μικροῦ I



καταμέτρησιν. δέχεται τοίνυν καὶ τὸ καθ' ἡμᾶς τοῦτο σχοινίον οὐργίας ι′, ἡ δὲ οὐργία παλαιστὰς κη′, εἰ δὲ βραχεῖς τύχοιεν οἱ παλαιστοὶ καὶ ὑπόμικροι καὶ τὸν λ′ ἀριθμὸν τῶν παλαιστῶν ἐπιδέχεται· καθόσον δηλονότι τοῦ μεγέθους ἐλλείπει δοκοῦντος εἶναι τοῦ παλαιστοῦ τοῦ προσήκοντος, τοσοῦτον τῆς οὐργίας τοῦ ἀριθμοῦ ὑπερβαινούσης τῶν κη′ κατὰ βραχὺ διερχόμενος τὴν μεταξὺ διαφορὰν καὶ μεχρὶ αὐτῶν φθανούσης λ′. ὅ,τι δέ ἐστιν παλαιστὴς καὶ οὐργία, περὶ μέτρων λέγουσιν ἡμῖν εἴρηται.

Τὴν δὲ αἰγύπτιον γῆν μετρᾶσθαί φασιν οὐργίαις σ′ τὴν δεχομένην δηλονότι σίτου μόδιον λιτρῶν ὄντα τῶν μ′. καὶ οὗτοι μὴ πέρας τοῦ προσήκοντος εἶναι δοκεῖ τὸ ἔργον αὐτοῖς ψαμμώδους γὰρ οὔσης ἐκείνης τῆς γῆς καὶ ἀπίου αὐτὴν εἰκὸς τὸν σπόρον ὀλιγοστὸν ἐπιδέχεσθαι, τὴν δὲ καθ' ἡμᾶς ταύτην πιώδην οὖσαν καὶ λιπαρὰν καὶ κάρπιμον ρ′ καὶ μόναις οὐργιαῖς μετρᾶσθαι τὴν δεχομένην τὸν μόδιον γῆν ἡ πεῖρα παρέδωκεν, ὡς δυναμένη δηλονότι πλείωναν σπόρον δέχεσθαί τε καὶ τρέφειν καὶ καλῶς τελεσιουργεῖν. ὅθεν καὶ τοῖς τῶν κλιμάτων καλῶς εἰδόσιν κρίνειν διαφορὰν τήν τε τῶν μέτρων ἀκρίβειαν, οὕτω τὰ καθ' ἡμᾶς χωρία τῇ πείρᾳ παραλαβοῦσιν καὶ λόγοις παραδεδώκασιν ἡμῖν καὶ τοῖς καθ' ἡμᾶς περὶ τὰ τοιαῦτα δοκίμοις, καλῆς δοκούσης εἶναι τῆς φύσεως ταύτης τῶν οὐργιῶν. καὶ ἡμῖν οὕτως ἐτάχθημεν μετρᾶσθαι ἐν οὐργιαῖς ρ′ δηλονότι τὴν γῆν τοῦ μοδίου, ὃς δὴ λίτρας χωρεῖ μ′.

'Αλλ' ἰστέον καὶ τοῦτο ὡς οὐ διὰ δύο ἀλλὰ τριῶν εὐθειῶν χωρίον ἕν, ὃ δὴ καὶ σχῆμα καὶ ἐμβαδὸν λέγεται, τουλάχιστον περιέχεται. τούτων τοίνυν διασαφηνισθέντων δέον καὶ μεθόδους προσθεῖσθαι, δι' ὧν ἑκάστῳ χωρίῳ τοῦ ἐμβαδοῦ ῥᾴδια γένοιτ' ἂν ἡ κατάληψις, καὶ δὴ ἀπὸ τῶν τετραγώνων ἀρκτέον τὸ πρῶτον.

Γινωσκέτω ὅτι μετὰ τὸν πολλαπλασιασμὸν αἱ ε′ οὐργίαι

1 τὸ] τὸν I - 1-2 τοῦτο σχοινίον] τούτω σχοινίω I - 4 τοῦ] τοὺς 1 - 15 πιώδην οὖσαν] πιωδήνουσαν I - 19 τοῖς] τὰς I - 21 παραδεδώκασιν] παραδεδοκώσιν I - 32 τὸν πολλαπλασιασμὸν] I f. 196ᵛ, τοῦ πολλαπλασιασμοῦ f. 198ʳ

ποιοῦσιν λίτραν α' ἤγουν πινάκιν ι'', αἱ οὐργίαι δὲ λέγονται καὶ λεπτά. αἱ ρ' οὐργίαι ποιοῦσιν λίτρας κ' ἤγουν μόδιον c'', αἱ σ' οὐργίαι ποιοῦσιν λίτρας μ' ἤγουν σίτου μόδιον α'. αἱ δὲ λίτραι ι' ποιοῦσιν πινάκιν ἓν σίτου. καὶ εἰ βούλει μετρῆσαι καὶ ψηφίσματα σχοινίων καὶ αὐτὰ οὕτως εὑρήσεις ἀσφαλῶς ὥσπερ καὶ τὰς οὐργίας, καὶ μετὰ τὸν πολλαπλασιασμὸν τὰ δύο σχοινία ποιοῦσιν μόδιον α'.

Ἀποδείγματος χάριν τοῦ σχήματος τὸ μῆκός ἐστιν τὰ δύο πλευρὰ ἀνὰ ϛ', κράτησον δὲ τὰ ϛ', τοῦ δὲ πλάτους τὰ δύο μέρη ἀνὰ δ', καὶ λαβὼν τὰ δ' καὶ πολλαπλασιάζων μετὰ τῶν ϛ' γίνονται κδ', καὶ ἰδοὺ γῆ μοδίων ιβ'. εἰ δὲ καὶ ἐπὶ τῶν λεπτῶν οὐργιῶν οὕτως καὶ ἑτέρα μέθοδος· διὰ τῶν δ' τίθεμεν μ', καὶ διὰ τὰ ϛ' τίθεμεν ξ', καὶ πολλαπλασιασθέντα τὰ μ' μετὰ τῶν ξ' γίνονται οὐργίαι ͵βυ', καὶ ἔστιν ἡ γῆ μοδίων ιβ'.

μόδιος α' καὶ ε'' καὶ λίτρα ω'' ἐγγύς

Ἔστω τοίνυν τετράγωνον ἰσόπλευρον τὸ α β γ δ, οὗ αἱ δ' πλευραὶ ἀνὰ ὀργυιῶν ια', ἐφ' ὧν δεῖ τὰς μὲν δύο πλευρὰς ἤτοι τὰς δύο εὐθείας καταλειπεῖν, τὰς δύο οὕτως μετρῆσαι πρὸς ἄλληλα· ια' τὰ ια' ποιοῦσιν ρκα', καὶ ἔστιν τὸ χωρίον ἐκεῖνον πρὸς οὐργίας ρ' τὸν μόδιον μόδιος α' καὶ ε'' καὶ λίτρα ω'' ἐγγύς.

Ἀλλὰ μηδὲ τοῦτο παραλειπεῖν ἄξιον· μέλλων γὰρ γεωμε-

1 ἤγουν π. ι''] I f. 196$^{v}$, om. f. 198$^{v}$ - 1-2 αἱ ... λεπτά] I f. 198$^{r}$, om. f. 196$^{v}$ - 2 αἱ ρ' οὐργίαι] I f. 196$^{v}$, οὐργίες δὲ ρ' f. 198$^{v}$ - κ' ἤγουν] μ' ἤγουν I f. 196$^{v}$, κ' ἤτοι f. 198$^{v}$ - 3 σ' οὐργίαι] I f. 196$^{v}$, δὲ οὐργίαι σ' f. 198$^{v}$ - σίτου] I f. 198$^{v}$, om. f. 196$^{v}$ - 4 αἱ ... σίτου] I f. 198$^{v}$, om. f. 196$^{v}$ - 5 βούλει] I f. 196$^{v}$, θέλεις f. 198$^{v}$ - 8 ἀποδ. χάριν] I f. 196$^{v}$, ὑπόδειγμα f. 198$^{v}$ - 9 κρ. δὲ τὰ ϛ'] I f. 196$^{v}$, om. f. 198$^{v}$ - τοῦ δὲ πλάτους] I f. 196$^{v}$, τὸ δὲ πλάτος f. 198$^{v}$ - 10-11 λαβὼν ... ϛ'] λ.τ. δ' κ. πολλαπλασίασον μ.τ. ϛ' I f. 196$^{v}$, πολλαπλασιασθέντες τὰ δ' μετὰ ϛ' f. 198$^{v}$ - 12-13 τῶν δ' τίθεμεν] I f. 196$^{v}$, τὰ δ' τίθω f. 198$^{v}$ - 13 διὰ τὰ ϛ' τίθεμεν] I f. 196$^{v}$, ἀντὶ τῶν ϛ' τιθῶ f. 198$^{v}$ - 13-14 πολλαπλασιασθέντα] I f. 196$^{v}$, πολλαπλασιάσας f. 198$^{v}$ - 14 τὰ ... ξ'] I f. 198$^{v}$, om. f. 197$^{r}$



τρῆσαι πρῶτον τίθει σκόπελον ἐν τῷ χωρίῳ ἐκείνῳ, ὃ βούλει μετρῆσαι, ἀφ' οὗ ἀπὸ σημείου ἐρχόμενος καὶ τῷ σωκαρίῳ ἤτοι τῷ δεκαουργίῳ σχοινίῳ ἀντὶ γραμμῆς χρώμενος τὰς εὐθείας τοῦ χωρίου ἔστω ποιεῖν καὶ ταύτας πρὸς ἀλλήλους καθ'ὃν δειχθήσεται τρόπον πολλαπλασιάζων, ἕξεις τὸ ἐμβαδὸν ἤγουν τὸν μοδισμὸν τοῦ χωρίου ἐκείνου.

Ἔστω τοιγαροῦν ἕτερον τετράγωνον ἐπίμηκες, οὗ αἱ μὲν δύο πλευραὶ ἀνὰ οὐργιῶν λ', αἱ δὲ δύο ἀνὰ οὐργιῶν κ'. λαμβάνω τῆς μιᾶς πλευρᾶς τὰ λ' καὶ τῆς καθέτου τὰς κ', πολλαπλασιάζω τὰς κ' μετὰ τὰς λ', καὶ ἔστι μοδίων ϛ'.

μόδιοι ιβ' c'' γ'' παρὰ οὐργίαν ιβ''


Ἔστω ἕτερον τετράγωνον ἀλλεπάλληλον, οὗ αἱ τέσσαρες πλευραὶ οὐκ εἰσιν ἴσαι, ἀλλ' ἡ μὲν βάσις οὐργιῶν με', ἡ δὲ κεφαλὴ οὐργιῶν μβ', ἡ ἑτέρα τῶν καθέτων οὐργιῶν λα' καὶ ἡ ἑτέρα οὐργιῶν κη'. ποίει οὕτως· τὰ με' τῆς βάσεως καὶ τὰ μβ' τῆς κεφαλῆς ἑνώσας ἄφελε τὰ ἡμίση. ὡσαύτως δὲ καὶ τὰ τῶν καθέτων ἤγουν τὰς λα' μετὰ τῶν κη', ἄφελε τὰ ἡμίση, τὰ δὲ κθ'c'' κρατήσας πολλαπλασίασον μετὰ τῶν μγ'c'' λέγων οὕτως· μ' τὰ κ'· ω', μ' τὰ θ'· τξ', μ' τὸ c''· κ', τρεῖς κ'· ξ', τρεῖς θ'· κζ', τρεῖς τὸ c''· α'c'', καὶ πάλιν τὸ c'' τῶν κ'· ι', καὶ τὸ c'' τῶν θ'· δ'c'', τὸ c'' τοῦ c''· δ'', ὁμοῦ ͵ασπγ'δ'', καὶ ἔστι πρὸς ρ' οὐργίας ὡς εἴρηται μοδίων ιβ'c'' καὶ γ'' παρὰ οὐργίαν ιβ''.

μοδίων β'δ''


Ἕτερον τετράγωνον ἑτερόμηκες, ὅπερ ὁμοίως ἀλλεπάλληλον καὶ αὐτὸ λέγεται, οὗ ἡ μὲν βάσις οὐργίας κ', ἡ δὲ κεφαλὴ οὐργίας λ', ἡ κάθετος οὐργίας ι' καὶ ἡ ἑτέρα οὐργίας η', ἐφ' ᾧ δεῖ ποιεῖν οὕτως· λαβὼν τὰς κ' τῆς βάσεως καὶ τῆς κεφαλῆς τὰς λ' καὶ ἑνώσας ἄφελε τὰ ἡμίση, ἅτινά εἰσιν κε', ὁμοίως καὶ ἑκατέρων τῶν καθέτων, ἅτινά εἰσιν θ'. πολλαπλασίασον τὰ κε' μετὰ τῶν θ' οὕτως· κ' τὰ θ'· ρπ', ε' τὰ

10-11 μετὰ τὰς] μετὰς I - 11, 24 ἔστι] ἔστιν I - 19 τῶν] τῶ I - 21 ξ'] ζ' I - 25 οὐργίαν ιβ''] 6ς α' c'' I - 30 λαβὼν] λαβεῖν I

θ'· με', ὁμοῦ σκε', καὶ ἔστι μοδίων β' καὶ δ''.




Ἕτερον τετράγωνον παραλληλόγραμμον, ἐν ᾧ ἐπίκειται ἀμβλυγώνιον τρίγωνον, οὗ μὲν τοῦ τετραγώνου ἡ βάσις οὐργίας ν', ἡ δὲ κορυφὴ ιε' καὶ τῶν καθέτων ἑκατέρων ἀνὰ οὐργίας ργ'. ποιοῦμεν καὶ ἐπ' αὐτοῦ οὕτως· ἀφελὼν ἀπὸ τῆς ἑνώσεως τῶν καθέτων τὰ ἡμίση καὶ ἀπὸ τῆς ἑνώσεως τῆς κεφαλῆς καὶ τῆς βάσεως τὰ ἡμίση ὡς καὶ ἐπὶ τῶν ἄλλων καὶ πολλαπλασιάζων τὰ ἐναπολειφθέντα ἑκατέρωθεν ἤγουν τὰ ἡμίση πρὸς ἄλληλα ἤγουν τὰ λβ'ς'' ἐπὶ τὰ ργ', ἅπερ γίνονται ,γτμζ'ς'', εὑρήσομεν τὸ ἐμβαδὸν τοῦ τοιούτου χωρίου, ὅπερ ἐστὶ μοδίων λγ'ς'' παρὰ λίτραν α'. τὸ δὲ τρίγωνον μετρεῖται οὕτως· δεῖ γὰρ τεσσάρων εὐθειῶν ἀεὶ μερίζειν τὰ τρίγωνα ἀπὸ τῶν λοιπῶν σχημάτων. λαβόντος οὖν τὰ ἡμίση τῆς μιᾶς πλευρᾶς τοῦ τριγώνου καὶ πολλαπλασιάσαντος ἐπὶ τὰ ἡμίση τῆς ἑτέρας πλευρᾶς καὶ τὸ γινόμενόν ἐστιν ὁ μοδισμὸς τοῦ τριγώνου. οἷον ἐπὶ τοῦ ῥηθέντος ὑποδείγματος ἔστω ἡ μὲν βάσις οὐργίας ιε', ἡ δὲ κάθετος οὐργίας ζ'ς'' καὶ ἡ ὑποτείνουσα οὐργίας ζ'ς'' καὶ εἰπὼν οὖν τὰ ἡμίση τῆς βάσεως καὶ τὰ ζ'ς'' τῆς μιᾶς πλευρᾶς πολλαπλασιάσας τὴν κάθετον ἐπὶ τὰ ἡμίση τῆς βάσεως οὕτως εἰπεῖν· ζ'ς'' τὰ ζ'ς''· νς'δ'', καὶ γίνεται μοδίου ς'' λίτρας α' καὶ οὐργίας α'ς''. δεῖ δὲ ἰδέναι ὡς ἀεὶ ἐπὶ τῶν τριγώνων καταλείπομεν τὴν μίαν πλευράν, τὴν δὲ μίαν πρὸς ἀλλήλους πολλαπλασιάζομεν. γίνονται οὖν ὁμοῦ ὁ μοδισμὸς τοῦ καθόλου χωραφίου τοῦ τε τριγώνου καὶ τοῦ τετραγώνου μόδιοι λδ'.




Ἔστω τρίγωνον ἰσόπλευρον, οὗπερ ἡ βάσις καὶ ἡ κάθετος καὶ ἡ ὑποτείνουσα ἀνὰ οὐργίας ρ'. δεῖ ποιεῖν οὕτω· τὴν μὲν ὑποτείνουσα παραλειπεῖν καὶ τὸ τῆς καθέτου ἥμισυ, τὸ δὲ ἕτερον ἥμισυ πολλαπλασίασον μετὰ τῆς βάσεως, καὶ τὸ γινόμενον ἔχειν τὸν μοδισμὸν τοῦ τοι-


1 ἔστι] ἔστιν I - 12 ,γτμζ'] ,ςτμζ' I - 13 ἐστὶ] ἐστὶν I - 21 βάσεως] βρώσεως I - 23 ζ'[1]] ζ'' τὰ I - 27 χωραφίου] χωράφιον I - 29 οὗπερ] ὅπερ I - 33 τῆς βάσεως] τὴν βάσιν I



ούτου χωραφίου μερίζων παρὰ τῶν ρ', ἤγουν τὰ ρ' πολλαπλασίασον μετὰ τῶν ν' οὕτως· ν' τὰ ρ'· ,ε, καὶ ἔστι τοῦ τοιούτου χωρίου ὁ μοδισμὸς μοδίων ν'.

μόδιοι μβ'

Ἕτερον τρίγωνον ὀξυγώνιον, οὗ ἡ μὲν βάσις οὐργίας ο', ἡ δὲ κάθετος καὶ ἡ ὑποτείνουσα ἀνὰ ρκ', καὶ ποιοῦμεν οὕτως· τὴν μὲν ὑποτείνουσαν οὐ μετροῦμεν οὔτε τὰ ἡμίση τῆς βάσεως, τὰ δὲ ἄλλα πολλαπλασιάζομεν πρὸς ἄλληλα καὶ τὸ γινόμενόν ἐστιν ὁ μοδισμὸς τοῦ τοιούτου χωραφίου· μοδίων μβ'.




Ἕτερον τρίγωνον σκαληνόν, οὗ ἡ μὲν βάσις οὐργίας ις', ἡ δὲ κάθετος οὐργίας ι', ἡ δὲ ὑποτείνουσα οὐργίας ιβ'. πολλαπλασίασον τὰ τῆς καθέτου ἐπὶ τὰ ἡμίση τῆς βάσεως ἤγουν τὰ ι' ἐπὶ τοῖς η', καὶ τὸ γινόμενον, ὅπερ ἐστὶν π', ἔστιν ὁ μοδισμὸς τοῦ τοιούτου χωραφίου. εἰ δὲ βούλει καὶ οὕτως ποίησον· πολλαπλασίασον τὴν κάθετον ἐπὶ τὴν βάσιν, καὶ τῶν γεγονότων τὸ ἥμισυ λαβὼν ἕξεις τὸν μοδισμὸν τοῦ χωραφίου. εἰδέναι μέντοι χρεὼν ὡς ἀεὶ τὴν κάθετον μετὰ τῆς βάσεως πολλαπλασιάζομεν. κατὰ δὲ τὸν αὐτὸν λόγον μετρῆσαι καὶ πάντα τὰ τρίγωνα, ὥσπερ καὶ τὰ τραπέζια κατὰ τὸν λόγον τῶν τετραγώνων, ἅτινα ἑτερομήκη λέγονται. ἐπ' ἐκείνων γὰρ τὴν βάσιν τῇ κορυφῇ ἑνοῦμεν. εἶτα λαμβάνομεν τὸ ἥμισυ ὡς ἀνωτέρω, καὶ ἀπὸ τῶν δύο καθέτων ἑνώσαντες λαμβάνομεν καὶ ἀπ' ἐκείνων τὸ ἥμισυ, καὶ τοῦτο ἐπ' ἐκεῖνο πολλαπλασιάσαντες ἔχομεν τὸν μοδισμὸν τοῦ τοιούτου χωρίου. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ ἰσόπλευρα τετράγωνα μετροῦμεν.

μοδίων β'
δ''' ι''' κ''' μ'''

Ἔστω δὲ κύκλος. εἰ θέλεις τὸ ἐμβαδὸν αὐτοῦ ἀπὸ τῆς περιμέτρου εὑρεῖν, πολλαπλασίασον τὴν περίμετρον ἐφ' ἑαυτὴν καὶ τὸν ἐπισυναχθέντα ἀριθμὸν ἑπταπλασίασον, καὶ τοῦ γινομένου τὸ ιδ'' ἐστὶ τὸ ἐμβαδόν. οἷον ἔστω ὁ κύκλος ὁ α β γ δ, οὗ ἡ περίμετρός ἐστιν οὐργί-

2-3 ἔστι ... χωρίου] ἔστιν τὸ τοιοῦτον χωρίον I - 10 μβ'] κα' I, sed in fig. μβ' - 21 ὥσπερ] ἅσπερ I - 23 τὴν βάσιν] τῇ βάσῃ I - 26 ἔχομεν] ἔχοντες I - 32-33 τοῦ γινομένου] τὸ γινόμενον I - 33 ἐστι] ἐστιν I

ας κβ', ἥτις πολλαπλασιαζομένη ἐφ' ἑαυτὴν ποιεῖ οὐργίας υπδ', αὗται ἑπταπλασιαζόμεναι ποιοῦσιν ,γτπη', τὸ ιδ''· σμβ', καὶ ἔστι μοδίων β' δ'' ι'' κ'' μ'' ἐγγύς. ἡ δὲ διάμετρος τούτου εὑρίσκεται οὕτως· μερισθεῖσα ἡ περίμετρος παρὰ τὰ κβ' γίνεται οὐργία μία, αὕτη ἑπταπλασιαζομένη ποιεῖ οὐργίας ζ', καὶ ἔστι τοσούτων οὐργιῶν ἡ διάμετρος. ἀπὸ δὲ τῆς διαμέτρου τὴν περίμετρον τούτου εὑρίσκομεν οὕτω· παντὸς κύκλου ἡ περίμετρος τῆς διαμέτρου τριπλάσιος καὶ ἐφ' ἕβδομος.

μοδίων α'
[..] ι''

Καὶ ἕτερος κύκλος, οὗ ἡ περίμετρος οὐργίας μδ'. ποίει οὕτως· τὴν περίμετρον ἐφ' ἑαυτὴν γίνονται ,αϡλς', τούτου τὸ ιδ''· ρλη' δ'' κη'', καὶ ἔστι τοσούτων οὐργιῶν τὸ ἐμβαδόν. εἰ δὲ καὶ ἀπὸ τῆς διαμέτρου βούλει τὸ ἐμβαδὸν εὑρεῖν, ποίει οὕτως· τὴν διάμετρον, ἥτις ἐστὶν οὐργίες ιδ', ποιήσας δὲ ἐφ' ἑαυτὴν ἕξεις ρϟς', ταῦτα ἐνδεκαπλασίως γίνονται ,βρνς', τούτων τὸ ιδ'' ἐστι τὸ ἐμβαδόν.

Ἔστι τὸ δὲ λεγόμενον τμῆμα κύκλου μετρῆσαι. τούτου τὴν διάμετρον ἐφ' ἑαυτὴν καὶ τὰ γεγονότα ἐνδεκαπλασίως καὶ τοῦ ἐπισυναχθέντος ἀριθμοῦ τὸ κη'' ἔσται τὸ ἐμβαδόν. οἷον ἔστω ἀψίς, ἧς ἡ διάμετρος οὐργίας ιδ', ἡ δὲ κάθετος οὐργίας ζ', εὑρεῖν δὲ αὐτῆς τὸ ἐμβαδόν. ποίει οὕτω· τὴν διάμετρον ἤγουν τὰ ιδ' ἐφ' ἑαυτὰ πολλαπλασιάσας ἕξεις ρϟς', ταῦτα ἐνδεκαπλασιάσας ἕξεις ,βρνς', τούτων τὸ κη'' ἔχει τὸ ἐμβαδὸν ἤτοι ἡ ἐπιφάνεια ἢ τὸ χωράφιον τῆς ἀψίδος. εἰδέναι, ὅτι παντὸς τριγώνου αἱ δύο πλευραὶ τοῖς λοιποῖς μείζονές εἰσιν ἐφ' ἑαυτὰς πολλαπλασιαζόμεναι, καὶ παντὸς κύκλου ἡ περίμετρος τῆς διαμέτρου τριπλάσιός ἐστι καὶ ἐφ' ἕβδομος, καὶ ἐμβάλλων τὸ ἀπὸ τῆς διαμέτρου καὶ περιμέτρου μετρούμενον ἴσον ἐστὶν ἐμβαδοῖς κύκλων τεσσάρων.

1, 16 ἐφ' ἑαυτὴν] ἐφ' ἑαυτῆς I - 2 ἑπταπλασιαζόμεναι] πολλαπλασιαζόμεναι I - 3 σμβ'] σλα'β' I - 3, 6, 13 ἔστι] ἔστιν I - 3 ἡ] τὸ I - 4 μερισθεῖσα] μερισθῆσαι I - 12-13 ρλη' δ'' κη''] ρλγ' c'' I - 18 ἐστι] ἐστιν I



**II. 10**

Μέτρον γεωμετρικόν.


Ἐχέτω ἡ ὀργυιὰ σπιθαμὰς θ' καὶ τὸ σωκάριον ὀργυιὰς ιβ'. ἐχέτω δὲ τοῦ μοδίου ἡ γῆ μετὰ τοῦ αὐτοῦ σωκαρίου ἓν τὸ πλάτος καὶ δύο τὸ μῆκος. καὶ ψηφίζεται οὕτως· δὶς α'· β', καὶ τὸ ἥμισυ τῶν β'· α', καὶ ἔστι μοδίου τόπος.

Ἐὰν δὲ εὑρίσκηται τόπος πλεῖον ἐχούσης τῆς κεφαλῆς τυχὸν τὸ πλάτος σωκάρια κ' καὶ ἡ πόδωσις σωκάρια ιγ', τὸ δὲ μῆκος τὸ ἓν μέρος σωκάρια λη' καὶ τὸ ἕτερον σωκάρια κζ', ψηφίζεται οὕτως· ἑξκαιδεκάει λ'· υπ', καὶ ἑξκαιδεκάει δύο· λβ', καὶ τὸ ἥμισυ τῶν λβ'· ις', καὶ τὸ ἥμισυ τῶν ις'· η', ὁμοῦ σωκάρια φλς', ὑφείλεται δὲ οὕτως· τὸ ἥμισυ τῶν φλς'· σξη', καὶ γίνεται γῆ μοδίων σξη'.

**II. 11**

Περὶ τοῦ μέτρου τῶν ἀμπέλων τοῦ θέματος Θρᾴκης.

Ὀφείλει ἔχειν ὁ κάλαμος σπιθαμὰς βασιλικὰς ις' ἤγουν γρονθίσματα μη' ἐπὶ τῶν πεφυτευμένων ἐξωχώρων, ἐπὶ δὲ τῶν κυλισμάτων σπιθαμὰς ιδ' ἤγουν γρονθίσματα μβ' τιθεμένου καὶ τοῦ πρώτου κονδύλου. καὶ ἐπὶ τούτοις οὐ δεῖ ἀπομεσάζειν, ἀλλ' ἁπλῶς οὕτως τὰ εὑρισκόμενα καλάμια ἐρωτᾶν πρὸς ἄλληλα, οἷον ἐπὶ παραδείγματος·




Ἡ κεφαλὴ καὶ ὁ πούς ἀνὰ καλάμια κ', τὰ δύο πλάγια ἀνὰ κ', ὁμοῦ τὰ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς καλάμια μ', τῶν δύο πλαγίων ὡσαύτως μ', καὶ ἐρώτησον μ' μ'· ,αχ', καὶ

2 σωκάριον] NUb, σωκάριν O - 3 τοῦ μοδίου] OU, τὸ μόδιον Nb - τοῦ αὐτοῦ σωκαρίου] Ub, τὸ αὐτὸ σωκάριον N, τὸ αὐτὸ σωκάριν O - 4 τὸ[1]] OUb, om. N - 6 εὑρίσκηται] b, εὑρίσκεται NOU - 9 κζ'] Nb, κη' U, λη' O - 9 ἑξκαιδεκάει[1]] NOU, ἑξκαιδεκὰ b - υπ'] U, φπ' NOb - 10 δύο· λβ'] NOb, om. U - λβ'[2]] NOb, om. U - 11, 12 φλς'] U, φϟς' NOb - 12 σξη'[1]] U, σϟη' NOb - γῆ] NOb, ἡ γῆ U - 18-19 ἀπομεσάζειν] πολυπλασιάζειν Υ - 22 κ'] β' Υ


ἔστιν ὁ τόπος φυτῶν ,αχ΄.

Ἡ κεφαλὴ σὺν τῷ ποδὶ καλάμια κ΄, τὰ δύο πλάγια ν΄, καὶ εἰπέ· κ΄ ν΄· ,α, καὶ ἔστιν ὁ τοιοῦτος τόπος χιλιὰς μία.

Ὡσαύτως καὶ τὰ μείζονα μετρούμενα τετραμέροθεν οὐδ᾽ ὅλως ὑφέλονται, ἀλλὰ πάντα ἀναβιβάζονται· ὁ πούς σὺν τῇ κεφαλῇ μέρος ἓν καὶ τὰ δύο πλάγια μέρος ἕν, καὶ ὁ εὑρισκόμενος ψῆφός ἐστι καὶ τοῦ ἀμπελῶνος ὁ αὐτὸς καὶ ἔστι τοσούτων φυτῶν ἀναμφιβόλως.

Ἐπὶ δὲ παραδείγματος οἷόν ἐστιν ὁ πούς καλαμίων κε΄, ἡ κεφαλὴ ιε΄, ὁμοῦ μ΄, τὰ πλάγια τὸ ἓν λε΄ καὶ τὸ ἕτερον με΄, ὁμοῦ π΄, καὶ εἰπέ· μ΄ π΄· ,γσ΄, καὶ ἔστι χιλιάδων γ΄ καὶ φυτῶν σ΄ ὁ ἀμπελών.

Θῶμεν ἔχειν τὴν κεφαλὴν καλάμους θ΄, τὸν πόδα καλάμους ς΄, ἅτινα ἑνούμενα γίνονται ιε΄. τὸ ἓν πλάγιον καλάμους μ<β΄> c΄΄ καὶ τὸ ἕτερον καλάμους ζ΄c΄΄, ἃ καὶ ἑνούμενα γίνονται ν΄, καὶ εἰπέ· ιε΄ ν΄· ψν΄, καὶ ἔστιν ὁ τόπος φυτῶν ψν΄.




Ἔχει ἡ κεφαλὴ καλάμια ξ΄, ὁ πούς λ΄, τὸ πρῶτον πλάγιον ρ΄, τὸ ἕτερον ρ΄, καὶ ὁμοῦ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς καλάμια ϟ΄, τῶν δύο πλαγίων σ΄, καὶ εἰπέ· σ΄ ϟ΄· α̈,η, καὶ ἔστιν ὁ τόπος χιλιάδων ιη΄.


19 ζ΄ c΄΄] ιζ΄ c΄΄ καὶ τὸ ἕτερον Υ




**II. 12**

Ἕτερον περὶ τῶν ἀμπελώνων τῆς Θρᾴκης καὶ Μακεδονίας.


Δεῖ εἰδέναι ὅτι τὸ καλάμιον τοῦ μέτρου τῆς Θρᾴκης καὶ Μακεδονίας τὸ ἐπὶ τῶν κυλισμάτων ὀφείλει ἔχειν παλαιστὰς μβ΄, τὴν πρώτην παλαιστὴν μετὰ κονδύλου. ἐπὶ δὲ τῶν πεφυτευμένων ἀμπελίων καὶ τελείως ἀπηρτισμένων ἔχει τὸ καλάμιον γρόνθους μη΄ ἤγουν σπιθαμὰς ις΄. καὶ γὰρ τὰ κυλίσματα, τοὺς κήπους, τὰ σικυήλατα, τὰ ἐνθύρια, τὰ περιβόλια μετὰ μικροτέρου καλαμίου μετρεῖς. καὶ τὰ ἐξώχωρα πάντα καὶ τὰ ὀφείλοντα χερσωθῆναι σὺν τοῖς διδομένοις ἐκληπτορικῶς ἀμπελόσι καὶ τοῖς χωροπακτιζομένοις τόποις εἰς διάφορα πρόσωπα μετὰ τοῦ μείζονος μετροῦνται καλαμίου τοῦ ἔχοντος τὰς μη΄ παλαιστὰς ἤτοι σπιθαμὰς ις΄. ἰστέον δὲ ὅτι τὸ μέτρον τοῦ ἀμπελῶνος τοῦ μετρουμένου μετὰ τοῦ καλάμου οὐ κόπτεται μέσον, ὥσπερ καὶ τὸ τοῦ σχοινίου, ἀλλ᾽ οὕτως ἑνοῦται ἁπλῶς καθὼς εὑρίσκεται.




Καὶ ὅρα τὸ σχῆμα· ἡ κεφαλὴ ἔχει καλάμους λ΄, ὁ πούς καλάμους μ΄, καὶ ἑνούμενα γίνονται ο΄. τὰ δύο πλάγια ἀνὰ π΄ καλάμους, καὶ γίνονται ρξ΄. καὶ ἐρωτᾷς ἁπλῶς ἑβδομηκοντάκι ρξ΄· α̈,ασ΄, καὶ ἔστιν ὁ ἀμπελὼν τοῦ τοιούτου σχήματος χιλιάδων ια΄ καὶ φυτῶν σ΄.




Σχῆμα ἕτερον· ἔχει ἡ κεφαλὴ σὺν τῷ ποδὶ καλάμους κ΄ ἀνὰ σπιθαμὰς ις΄, τὰ δύο πλάγια καλάμους ν΄. ἐρωτᾷς οὖν· εἰκοσάκι ν΄· ,α, καὶ ἔστι χιλιάδος μιᾶς.




Ἕτερον σχῆμα· ἔχει ἡ κεφαλὴ σὺν τῷ ποδὶ καλάμους ιβ΄, τὰ δύο πλάγια καλάμους ιη΄. ἐρωτᾷς οὕτως· δωδεκάκι ιη΄· σις΄, καὶ ἔστι φυτῶν σις΄.

8 τοὺς κήπους] οἱ κῆποι L - 11 ἀμπ. ... τόποις] ἀμπελώνων καὶ τῶν χωροπακτιζομένων τόπων L - 18 μ΄] π΄ L - 30 η΄ in fig.] ιη΄ L

δ'
λ' ☐ κ'
ς'

Ἕτερον σχῆμα· ἔχει ἡ κεφαλὴ σὺν τῷ ποδὶ καλάμους ι', τὰ δύο πλάγια καλάμους ν', καὶ ἐρωτᾷς· δεκάει ν'· φ', ἔστιν οὖν φυτῶν φ'.

Ἡ δὲ χιλιὰς ἡ μετρουμένη μετὰ τοῦ καλάμου τοῦ ἔχοντος σπιθαμὰς ις', ἐὰν μετρηθῇ μετὰ τοῦ καλάμου τοῦ ἔχοντος σπιθαμὰς ιδ', εὑρίσκεται ἡ κεφαλὴ σὺν τῷ ποδὶ καλάμους κγ' παρὰ σπιθαμὰς β', ὡσαύτως καὶ τὰ δύο πλάγια καλάμους νζ' σπιθαμὰς β'. συγκρουομένων οὖν ἀμφοτέρων λέγεις οὕτως· εἰκοσάει νζ'· ,αρμ', καὶ γ' νζ'· ροα', ὁμοῦ ,ατια', καὶ ἔστι φυτῶν ,ατια'.

Ὁ δὲ τόπος τῆς ἐκδοτῆς μιᾶς χιλιάδος τῆς Θρᾴκης τῆς μετρηθείσης μετὰ τοῦ καλάμου τοῦ ἔχοντος σπιθαμὰς ις' μετρούμενος κατὰ τὸ ἐποπτικὸν μέτρον τὸ ἐπὶ τῆς σπορίμου γῆς μετὰ τοῦ δεκαοργυίου σχοινίου ἐστὶ τόπος μοδίων γ' λιτρῶν ιη'. τοῦτο δὲ γνώριζε ἀκριβῶς ἐκ τοῦ τοιούτου σκοποῦ· ἔχει ἡ ὀργυιὰ σπιθαμὰς θ'δ'', τὸ δὲ σχοινίον τὸ μετρητὸν ἔχει ὀργυιὰς ι' ἤγουν σπιθαμὰς ϟβ'c''.

Καὶ εὑρίσκεται ἡ κεφαλὴ σὺν τῷ ποδὶ ἔχουσα σχοινία γ' ὀργυιὰς δ' γ'', τὰ ἡμίση τούτων σχοινία α'c'' ὀργυιαὶ β'ς''. εὑρίσκονται καὶ τὰ δύο πλάγια ἔχοντα σχοινία η' καὶ ὀργυιὰς ς', τὸ ἥμισυ τούτων σχοινία δ' ὀργυιαὶ γ'. ἐρωτᾷς οὕτως· τετράει α'· δ', τὸ ἥμισυ τῶν δ'· β'. ἐρωτῶσι καὶ αἱ ὀργυιαὶ ἀπὸ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς πρὸς τὰς ὅλας ὀργυιὰς τῶν πλαγίων οὕτως· δὶς μγ'· πς', τὸ ἕκτον τῶν μγ'· ζ'ς'', ὁμοῦ ὀργυιὰς ϟγ'ς''. ἀπομεσάζονται οὖν τὰ σχοινία, αἱ δὲ ὀργυιαὶ οὐχί, καὶ ὡς ἐκ τούτου ὑπάρχει ὁ τοιοῦτος τόπος μοδίων γ' λιτρῶν ιη' οὐγγίων ζ'.

Ἐπὶ δὲ τῆς χιλιάδος τῆς μετρουμένης μετὰ τοῦ καλάμου τοῦ ἔχοντος σπιθαμὰς ιδ' <ἤγουν> γρόνθους μβ' εὑρίσκεται ἡ χιλιὰς μοδίων β' λιτρῶν λβ'c''. ἔστι δὲ οὕτως· ἔχει ἡ κεφαλὴ σὺν τῷ ποδὶ καλάμους κ' ἀνὰ σπιθαμὰς ιδ'· σπιθαμὰς σπ', τὰ δύο πλάγια καλάμους ν' ἀνὰ σπιθαμὰς ιδ'· ἐντεῦθεν

9 σπιθαμὰς] σπιθαμῶν L - 17 δ''] c'' L - 25 πς'] μς' L - 28 ιη'] ιβ' L



σπιθαμὰς ψ'. ἐρωτᾷς οὖν τὰ καλάμια οὕτως· εἰκοσάει ν'· ,α, καὶ ἔστιν ὁ τόπος χιλιάδος μιᾶς. ὁ δ' αὐτὸς τόπος μετρούμενος μετὰ δεκαοργυίου σχοινίου κατὰ τὸ ἐποπτικὸν μέτρον τὸ ἐπὶ τῆς σπορίμου γῆς γινόμενον εὑρίσκεται ἡ κεφαλὴ σὺν τῷ ποδὶ ἔχουσα σχοινία γ', ὧν τὸ ἥμισυ ὀργυιὰς ιε' ἤγουν σχοινία ἓν c'', τὰ δύο πλάγια σχοινία ζ'c'', ὧν τὰ ἡμίση ὀργυιὰς λζ'c'' ἤγουν σχοινία γ' c'' δ''. ἐρωτᾷς οὖν τὰ σχοινία οὕτως· τρὶς μίαν· τρεῖς, καὶ τὸ ἥμισυ τοῦ α'· c'', καὶ τὸ τέταρτον τοῦ ἑνός· δ'', καὶ πάλιν λέγεις· τὸ ἥμισυ τῶν γ'· α' c'', καὶ τὸ ἥμισυ τοῦ c''· δ'', καὶ τὸ τέταρτον τοῦ c''· η'', ὁμοῦ ε' c'' η'', ὧν τὰ ἡμίση· μοδίων β' λιτρῶν λβ'c''. ἐπὶ δὲ τῶν ὀργυιῶν ἐστιν ἡ ἐρώτησις καὶ ὁ ἀναβιβασμὸς ἀκριβέστατος. λέγεις γὰρ οὕτως· πεντεκαιδεκάει λζ'· φνε', καὶ τὰ ἡμίση τῶν ιε'· ζ'c'', ὁμοῦ ὀργυιῶν φξβ'c''. ἑκάστῳ μοδίῳ ὀργυιαὶ σ', καὶ ἔστι γῆ μοδίων β' καὶ λιτρῶν λβ'c''.

## II.13

| | |
|---|---|
| Ἕτερον περὶ τοῦ αὐτοῦ. | Περὶ μετροβολίας γῆς σκαφείσης καὶ κυλισθείσης καὶ σπορίμης καὶ λιβαδιαίας. |
| Ὁ μὲν κάλαμος, μεθ' οὗ μετρεῖς τὴν σκαφεῖσαν γῆν τῶν ἀμπελίων, ὀκτάπους ἐστίν, ἕκαστος δὲ ποὺς ἔχει ἀνὰ σπιθαμὰς δύο βασιλικάς. | Χρὴ γινώσκειν, ὅτι ὁ μὲν κάλαμος, μεθ' οὗ μετροῦσι τὴν σκαφεῖσαν γῆν τῶν ἀμπελώνων, ὀκτάπους ἐστὶν ἑκάστου ποδὸς ἀνὰ δύο σπιθαμὰς βασιλικὰς ἔχοντος, ὡς εἶναι τὸν κάλα- |

1 ἐρωτᾷς] ἐρωτᾷ L - 2 ἔστιν] ἔστι L - 7 γ'] γ'' L - 8 τοῦ] τούτων L
24 μετρεῖς] L, μετρᾷς Q - σκαφεῖσαν γῆν] κεφαλὴν LQ
17-22 περὶ ... λιβ.] Z, om. MNOPSTUVb - 24 μετροῦσι] codd., μετροῦσιν M - 27 δύο] codd., ιβ' O

| | |
|---|---|
| ὁ δὲ τῶν κυλισμάτων κάλαμος ἑπτάπους ἐστί. | μον κοινῶν σπιθαμῶν ιη΄. ὁ δὲ ἕτερος κάλαμος ὁ τῶν κυλισμάτων ἐστὶν ἑπτάπους. |
| ἐν τῷ τῆς Θρᾴκης δὲ θέματι ἔχει ὁ κάλαμος ἐπὶ τοῦ κυλίσματος σπιθαμὰς ιδ΄ καὶ ἐπὶ τῆς πανέργου τῶν πεφυτευμένων ἀμπελίων σπιθαμὰς ι΄. ἡ δὲ πάνεργός ἐστιν αὕτη. ὁ ἀποχαρακισμός, ὁ κλάδος, τὸ σκάφος, τὸ δίσκαφον, ὁ χαρακωμὸς καὶ ὁ ἀναδεμός. | |
| μετρεῖται δὲ ἡ ὑπάμπελος γῆ οὕτως· ἐὰν ἔχῃ κατὰ τὰς δύο πλευρὰς ἀνὰ καλάμους ι΄ καὶ κατὰ τὰς ἑτέρας δύο πλευρὰς | μετρεῖται δὲ ἡ τοιαύτη ὑπάμπελος γῆ οὕτως· ἐὰν ἔχῃ κατὰ τὰς δύο πλευρὰς ἀνὰ καλάμους ι΄ καὶ κατὰ τὰς ἑτέρας δύο πλευρὰς εἴτε τοῦ μήκους εἴτε τοῦ εὔρους |
| ἀνὰ καλάμους κε΄, τὸ δὲ μέτρον οὐ πολυπλασιάζεται, ἀλλ' ἐρωτᾷ μόνον ἡ κεφαλὴ καὶ ὁ πούς τὰ δύο πλάγια. καὶ | ἀνὰ καλάμους κε΄, |
| ἐὰν φέρῃ μέτρον ἡ κεφαλὴ μετὰ τοῦ ποδὸς καλάμους κ΄ καὶ τὰ δύο πλάγια ν΄, λέγεις· | γίνεται τὸ μῆκος καλάμων ν΄ καὶ τὸ εὖρος καλάμων κ΄ καὶ ψηφίζεται οὕτως· |
| εἰκοσάκις πεντήκοντα· ͵α, καὶ ἔστι φυτῶν ͵α. καὶ κατὰ μίμησιν αὐτοῦ ὑπάρχει τὸ ὅλον μέτρον. | εἰκοσάει πεντήκοντα· ͵α. |

4-8 ἐν … ι΄] praebent LQ post κε΄ ad lineam 19 - 8-12 ἡ … ἀναδ.] praebent LQ post μέτρον ad lin. 29 - 26 εἰκοσάκις] L, εἰκοσάϊ Q - 27 καὶ … ͵α] L, om. Q

1 κοινῶν] codd., om. P - ιη΄] Vb, ιζ΄ MNOPSTUZ - 15 τὰς δύο] codd., om. P - 16-17 ἑτέρας] MNPTUVZb, ἑτέρους O, om. S - 18 μήκους … εὔρους] codd., μήκου … εὔρου V - 26 εἰκοσάει] codd., εἰκοσὰ b



Ἡ δὲ σπορίμη μετρεῖται μετὰ δεκαουργίου σχοινίου ἐχούσης τῆς ὀργυιᾶς σπιθαμὰς θ΄. καὶ εἴπερ εὑρεθῇ ἔχουσα κατὰ τέσσαρας πλευρὰς τυχὸν ἀνὰ ι΄ σχοινίων, γίνεται μῆκος κ΄ καὶ πλάτος κ΄, καὶ ψηφίζεται οὐχ ὡς ἐπὶ τῶν ἀμπελώνων εἰκοσάει κ΄, ἀλλὰ μεσοῦντες ἀμφότερα λέγομεν· δεκάει δέκα· ρ΄, καὶ αὖθις· τὸ ἥμισυ τῶν ρ΄· ν΄, καὶ ἔστιν ἡ τοσαύτη γῆ μοδίων ν΄.

Εἰ δέ ἐστι τὸ χωράφιον τρίγωνον, ἐπεὶ τὸ εἰς ὀξὺ λῆγον οὐ μετρεῖται. κρατεῖς τὰ ἡμίση τῆς μιᾶς πλευρᾶς. εἰ γὰρ ἔχει ι΄, κρατεῖς ε΄, καὶ εἴπερ αἱ ἄλλαι δύο πλευραὶ ἔχουσιν ἀνὰ ι΄, ὧν ὀφείλει τὸ ἥμισυ ψηφίζεσθαι, λέγομεν· πεντάει ι΄· ν΄, καὶ τὸ ἥμισυ τῶν ν΄· κε΄, δηλονότι μοδίων.

Τὸ δὲ λιβάδιον μετρεῖται μὲν μετὰ δεκαουργίου σχοινίου, καθὼς δὲ ἡ σπορίμη.

## II. 14

### Ἄλλη μέθοδος τοῦ ἀμπέλου.

Ὀφείλει ἔχειν τὸ καλάμιν σπιθαμὰς ιδ΄ ἤγουν τέταρτα μβ΄, ἡ γὰρ σπιθαμὴ ἔχει τέταρτα γ΄, ἡ οὐργία ἔχει σπιθαμὰς θ΄ βασιλικάς, καὶ ἡ πήχη σπιθαμὰς ε΄ ς΄΄. ὁ πούς ἔχει παλαιστὰς δ΄, δακτύλους ις΄. ὁ πῆχυς ὁ εὐθυμετρικὸς ἔχει

1-2 σχοινίου] codd., om. T - 2 ὀργυιᾶς] Nb, ὀργίας MOV, οὐργίας P, οὐργυιᾶς STUZ - σπιθαμὰς] OPSTUVZ, σπιθαμῶν MNb - 3 ἔχουσα] codd., om. P - τέσσ. πλ.] bT, τὰς τ. πλ. U, τὰ τέσσαρα πλευρὰ PS, δ΄ πλευρὰ MNOZ, τὸν δ΄ πλευρῶν V - ι΄] codd., om. Z - 5 εἰκοσάει] codd., εἰκοσὰ b - 6 ἀμφότερα] codd., πάντα O - δεκάει] codd., δέκα O, δεκὰ b - 7 ἔστιν] codd., ἔστι V - 8 μοδίων] codd., ποδῶν T - 9 δὲ] Vb, γὰρ MNOPSTUZ - ἐπεὶ] PTUVb ἐπὶ MNOSZ - εἰς] codd., om. SZ - 12 ἄλλαι δύο] codd., δύο ἄλλαι P - ι΄] MNOPSTUZ, ε΄ Vb - 13 πεντάει] MOPSTUVZ, πεντὰ b, πεντηκοντάη N - 14 δηλονότι] codd., δηλὅτι V - 15 λιβάδιον] codd., λιβαδιαῖον Z - μετὰ] TVb, μετὰ δὲ P, κατὰ MNOSUZ - δεκαουργίου] PVb, δωδεκαουργίου MNOSTUZ - 16 καθὼς] codd., οὐ καθὼς S - ἡ] codd., καὶ ἡ b - 20 ὁ πούς] ἡ πήχυ W - 21 πῆχυς] πῆχρος W

σπιθαμὴν α´ δακτύλους ις´, ὁ πῆχυς ἔχει ὁ λιθικὸς <πόδας> α´ ϲ´´, δακτύλους ις´ καὶ η´ ἤγουν κδ´.

Καὶ ἔχει τὸ μονολίσκιν φόλλεις α´, τὸ διλίσκιν β´. εἰς δὲ τὴν ἀννόναν κατὰ τὸ ἔθιμον τοῦ τόπου. εἰς δὲ τὸ κόπρισμα αἱ πέντε χιλιάδες ἔχουν νόμισμα α´ μιλιαρίσια γ´ καὶ τὰς ἀννόνας καθὼς ἔχει τὸ ἔθιμον τοῦ τόπου. ἡ δὲ σούδα καθὼς ἔχει τύπον τὸ κύλισμα οὕτως καὶ τοῦτο.

κς´ — κα´ ϲ´´ — κα´ ϲ´´

Ἔστι δὲ οὕτως· ἔχει ἡ κεφαλὴ καλάμια κς´ καὶ τὰ δύο πλάγια καλάμια μγ´, τὰ μὲν ἡμίση ἄφες, τὰ δὲ ἡμίση κράτει, ἤγουν τὰ ἡμίση τῶν κς´ εἰσὶ ιγ´ καὶ τὰ ἡμίση τῶν μγ´· κα´ ϲ´´. εἶθ᾽ οὕτως τρίπλασον τὰ ιγ´ καὶ τὰ κα´ ϲ´´ οὕτως· γ´ ιγ´· λθ´, ἰδοὺ ἐποίησας τὰ ιγ´ λθ´, τρίπλασον καὶ τὰ κα´ ϲ´´ καὶ γίνονται ξδ´ ϲ´´. λοιπὸν ἐρώτα τὰ λθ´ μετὰ ξδ´ ϲ´´, καὶ ἔνθα ἀναβιβασθῇ ὁ ἀριθμὸς αὐτῶν, ἔστι τόσων φυτῶν ὁ ἀμπελών, καὶ λέγεις οὕτως· τριακοντάει ξ´· ,αω´, τριακοντάει δ´· ρκ´, ἰδοὺ τὰ λ´ μετὰ ξδ´ ἐγένοντο λεπτὰ ἤγουν φυτὰ ,α϶κ´. ἀπέμειναν καὶ τὰ θ´ τῶν λ´, καὶ εἰπὲ οὕτως· ἐρώτα καὶ αὐτὰ πρὸς τὰ ξδ´ ϲ´´· ἐννάει ξ´· φμ´, καὶ ἐννάει δ´· λς´, καὶ τὰ ἡμίση τῶν λθ´· ιθ´ ϲ´´, ἔχεις καὶ ὧδε λεπτὰ φϟε´ ϲ´´. ἕνωσε καὶ αὐτὰ μετὰ τῶν ἄλλων ἤγουν μετὰ τῶν ,α϶κ´, καὶ γίνονται αὐτὰ μετ᾽ ἐκείνων ὁμοῦ τὰ ἀμφότερα λεπτὰ ἤγουν φυτὰ χιλιάδες β´ ϲ´´ καὶ φυτὰ ιε´ ϲ´´.

Εἰσὶ καὶ τὰ φυτεύματα τῶν ἀμπελώνων τῆς Θρᾴκης· τὸ καλάμιν ὀφείλει ἔχειν γρόνθους μβ´. καὶ ἰδοὺ ὁ τόπος τοῦ σημαδίου τοῦ ἀμπελίου·

καλάμια ἢ σχοινία κε´ — κε´


ἔχει τὸ ἓν πλάγιον καλάμια κε´ καὶ τὸ ἕτερον πλάγιον καλάμια κε´, ὁμοῦ ν´. <?> ψήφισον τὰ κε´ μετὰ κε´ οὕτως· εἰκοσάει κ´· υ´, εἰκοσάει ε´· ρ´, πεντάει κ´· ρ´, καὶ πεντάει ε´· κε´, καὶ ἔστιν ὁ ἀμπελὼν φυτῶν ψν´.

22 ἐκείνων] ἐκεῖνα W - 24 Θρᾴκης] Θουράκης W - 27-28 καλάμια ἢ σχοινία] ἢ καλάμια σχοινία W - 32 ἔστιν] ἔστι W




**II. 15**

Ἀμπέλιον τῶν [Θρᾳκησίων].





Ἔχει ἡ κεφαλὴ καλάμια κ´ καὶ οἱ πόδες κε´, ὁμοῦ καλάμια με´, τὸ ἓν [πλάγιον] ιε´ καὶ τὸ ἕτερον ι´, ὁμοῦ κε´, ὁμοῦ τόπος καλαμίων ο´. ψηφίζειν δὲ οὕτως ὀφείλεις [τὴν] κεφαλὴν τὴν ὁμάδα· κ´ ο´· ,αυ´, ὁμοῦ ἀμπέλια χιλιάδος α´ φυτῶν υ´.

Τοῦ Ὀπτ[ί]μ[ατος].




Ἔχει ἡ κεφαλὴ καλάμια ι´, ὁ δὲ πούς δέκα, τὸ ἥμισυ τῶν κ´· ι´, τρίπλασον τὰ δέκα καὶ εἰπὲ οὕτως· τρεῖς ι´· λ´. τὸ ἓν πλάγιον κε´, τὸ ἕτερον κε´, ὁμοῦ ν´, τὸ ἥμισυ τῶν ν´· κ[ε´], τρίπλασον καὶ αὐτά· γ´ κε´· οε´, καὶ λέγε οὕτως· λ´ ο´· ,βρ´, καὶ ε´ λ´· ρν´, [καὶ ἔστιν] ἀμπέλιον χιλιάδων δύο φυτῶν σν´.

Τοῦ Ὀψικίου.




Ἔχει ἡ κεφαλὴ κα[λάμια] ρν´, ὁ δὲ πούς ρνε´, ὁμοῦ τε´, τὸ ἓν πλάγιον μ´ καὶ τὸ ἕτερον μ[ε´], ὁμοῦ πε´. καὶ ἐρωτῶσι τὰ ἐπάνω ψηφία τὰ κάτω οὕτως· τ´ π´· [β ,δ], καὶ ε´ π´· υ´, καὶ ε´τ´· ,αφ´, καὶ ε´ ε´· κε´, ὁμοῦ ἀμπέλιον χιλιάδων κε´ καὶ φυτῶν [϶κε´]. ἔχει δὲ τὸ καλάμιον σπιθαμὰς ια´ καὶ μία μὲ τὸν ἀντίχειρα.


1 τῶν] τοῦ D - 2 κ´] κε´ D - 21-22 ἐρωτῶσι] ἐρωτῶσιº D - 26 σπιθαμὰς] τέταρτα D - μία] ἕνα D - 27 ἀντίχειρα] αὐτόχειρον D



## II. 16

### Θέμα τοῦ Ὀψικίου.

Ὀφείλει ἔχειν τὸ καλάμιν σπιθαμὰς ιβʹ.





Ἔχει δὲ ἡ κεφαλὴ καλάμια εʹ καὶ ἡ πόδωσις καλάμια εʹ, ὁμοίως καὶ τὰ δύο πλάγια ἀνὰ καλαμίων ιʹ. ἀπόλυσον παντελῶς τὰ ἡμίση τούτων καὶ τὰ ἡμίση κράτει ἤγουν τὰ ιεʹ, καὶ τρίπλασον αὐτὰ τὰ ιεʹ, καὶ εἰπὲ οὕτως· γʹ ιεʹ· μεʹ, καὶ εἶθ' οὕτως πεντακαιδεκάπλασον τὰ μεʹ οὕτως· πεντακαιδεκάει μʹ· χʹ, καὶ πεντακαιδεκάει εʹ· οεʹ, καὶ ἔστι τὸ τοιοῦτον ἀμπέλιν κλημάτων χοεʹ.


## II. 17

### Ἕτερον μέτρον τοῦ Ὀψικίου.

Ὀφείλει ἔχειν τὸ καλάμιν τέταρτα μβʹ, καὶ μετρᾶται οὕτως·




Ἡ κεφαλὴ καλάμια ιʹ, ὁ πούς καλάμια ιʹ, ἔασον τὰ δέκα καὶ τὰ ιʹ τριπλασίασον καὶ εἰπέ· γʹ ιʹ· λʹ. τὸ ἓν πλάγιον κεʹ καὶ τὸ ἕτερον κεʹ, ποίησον ὁμοίως καὶ ἔασον τὰ κεʹ καὶ τρίπλασον τὰ κεʹ καὶ εἰπέ· γʹ κεʹ· οεʹ. καὶ τότε ἐρώτησον τὰ λʹ καὶ τὰ οεʹ καὶ εἰπέ· λʹ οʹ· ,βρʹ, καὶ λʹ εʹ· ρνʹ, ὁμοῦ ,βσνʹ, καὶ ἔστιν ὁ ἀμπελὼν χιλιάδων <βʹ> καὶ φυτῶν σνʹ.




Ἀμπελόφυτον τετράγωνον. ἔχει ἡ κεφαλὴ κʹ, ὁ πούς κʹ, ὁμοῦ μʹ, ὕφελε τὰ κʹ καὶ τὰ κʹ τριπλασίασον ἤγουν· γʹ κʹ· ξʹ. ὡσαύτως καὶ τὰ δύο πλάγια ἀνὰ εἴκοσι, ὁμοῦ μʹ, καὶ ποίησον καὶ ἐπ' αὐτῷ ὁμοίως καὶ ἔχει ξʹ καὶ εἰπέ· ξʹ ξʹ· ,γχʹ, καὶ ἔστιν ὁ τόπος χιλιάδων γʹ φυτῶν χʹ.

24 ὕφελε] ὕφελα Υ - 27 ξʹ] ξʹ καὶ ξʹ Υ



Ἔχει ἡ κεφαλὴ καλάμια ηʹ, ὁ πούς καλάμια ηʹ, τὸ ἓν πλάγιον ιαʹ καὶ τὸ ἕτερον ιαʹ, τρίπλασον οὖν τὰ τῆς κεφαλῆς καὶ εἰπέ· γʹ ηʹ· κδʹ, καὶ τὰ ιαʹ τοῦ ἑνὸς πλαγίου· ιαʹ γʹ· λγʹ, καὶ εἶθ' οὕτως ἐρώτησον τὰ κδʹ μετὰ τῶν λγʹ· κʹ λʹ· χʹ, δʹ λʹ· ρκʹ, γʹ κʹ· ξʹ, γʹ δʹ· ιβʹ, καὶ ὁμοῦ ψϟβʹ, καὶ ἔστιν ὁ τόπος φυτῶν ψϟβʹ.

## II. 18

### Μέτρον ἀμπελώνων εἰς Νικομήδειαν καὶ τὸν Κόλπον.

Δέον μετρεῖν τὸν βλεπόμενον τόπον διὰ τεσσάρων ἤγουν ἐκ δύο πλαγίων, κεφαλῆς καὶ ποδός, καὶ ὅταν εὑρίσκηται τὸ ἓν πλάγιον τοῦ ἑτέρου πλέον, ἢ ἡ κεφαλὴ τοῦ ποδὸς ἢ ὁ πούς τῆς κεφαλῆς, δανείζει τὸ ἓν μέρος τῷ ἑτέρῳ ἤγουν ἡ κεφαλὴ τῷ ποδὶ καὶ ὁ πούς τῇ κεφαλῇ καὶ τὸ ἓν πλάγιον τῷ ἑτέρῳ καὶ γίνονται ἀμφότερα ἐξ ἰσότητος.

2 ηʹ[2]] ξʹ Υ - 6 κʹ[1]] ηʹ Υ - 8-9 μέτρ. ... Κόλπ.] L, μέτρον τῆς γῆς ἀμφοτέρων μερῶν τοῦ Κόλπου D, μέτρον γῆς καὶ ἀμπελίων τοῦ Κόλπου b, ἕτεροι μέτροι ἀμπελικοί· πῶς δεῖ νοεῖν τὸν βλεπόμενον τόπον πόσων χιλιάδων ἐστὶν εἰς τὸ μέτρον τοῦ Κόλπου W - 10 δέον] LW, δέον σε D, χρὴ b - μετρεῖν] DL, μετρᾶν Wb - 11 ἐκ ... ποδὸς] ἐκ πλαγίων καὶ κεφαλῆς καὶ ποδὸς W, ἐκ δύο πλαγ. ἀπὸ κεφ. καὶ ποδὸς D, ἐκ δύο πλευρῶν κεφ. τε καὶ ποδὸς b, κεφαλῆς ποδὸς καὶ τῶν πλαγ. L - ὅταν] Db, ὅτε L, εἰ μὲν W - εὑρίσκηται] b, εὑρίσκεται DL, εὑρίσκεις W - 12 πλάγιον] DLW, πλευρὸν b - τοῦ ... πλέον] b, τ. ἑτ. πλειότερον D, πλέον παρὰ τὸ ἕτερον W, πλεονάζον τοῦ ἄλλου L - 12-13 ἢ ἡ ... κεφαλῆς] DLb, καὶ ἡ κεφαλὴ τῶν ποδῶν W - 13 δανείζει] DWb, δανειζέτω L - 13-15 τὸ ... ἰσότητος] τ. ἕν μέρ. τὸ ἕτερον ἤγ. ἡ κ. τὸν πόδα κ. ὁ π. τὴν κεφαλὴν κ. τὰ δύο πλάγια ἄλληλα κ. γίν .... ἰσ. ἤγουν τὰ δύο πλάγια ἓν καὶ ἡ κεφαλὴ καὶ ὁ πούς ἕν D, τ. ἓν μ. τοῦ ἑτέρου ἤγ. ἡ κ. τῷ π. καὶ τὸ ἓν πλάγιον τῷ ἑτ. κ. γίν. ... ἰσ. b, ὁ πούς τὴν κεφαλὴν καὶ τὸ ἓν μέρος δανείζει τὸ ἕτερον κ. γίν. ... ἰσ. W, τὸ περιττεῦον τῷ ἐλλείποντι καὶ ποιείτω ἴσα, οὕτως δὲ καὶ τὰ πλάγια L

Πολλάκις γὰρ εὑρίσκεται ὁ μετρούμενος τόπος πρὸς μὲν τὴν κεφαλὴν ἔχων καλάμους ς′ c″, πρὸς δὲ τὸν πόδα καλάμους ζ′, ἅπερ ἑνούμενα γίνονται ιγ′ c″, πρόσθες εἰς αὐτὰ τὰ ἡμίση τῶν ιγ′· κ′. περὶ γὰρ τοῦ ἡμίσεος τοῦ ἡμίσεος οὐκ ἔστι πολλὴ ζήτησις. ὡσαύτως εὑρίσκεται καὶ τὸ ἓν πλάγιον τοῦ αὐτοῦ τόπου ἔχον καλάμους ις′ c″, τὸ δὲ ἕτερον ιζ′, ἅπερ ἑνούμενα γίνονται λγ′ c″, πρόσθες ὁμοίως εἰς αὐτὰ τὸ ἥμισυ τῶν λγ′ c″ καὶ γίνονται ν′, ὅθεν εὑρίσκεται ὁ τοιοῦτος τόπος ἡ μὲν κεφαλὴ μετὰ τοῦ ποδὸς ἔχουσα συναναβιβασμοῦ καλάμους κ′, τὰ δὲ δύο πλάγια ν′, καὶ λέγε οὕτως· κ′ ν′· ͵α, καὶ ἔστιν ὁ ἀμπελὼν χιλιάδος α′.

Μετρᾶται δὲ ἕτερος τόπος. ἔχει μὲν ἡ κεφαλὴ καλάμους ιε′ ω″, ὁ δὲ ποὺς καλάμους ιβ′ c″, ἅπερ ἑνούμενα γίνονται κη′ c″, πρόσθες εἰς αὐτὰ καὶ τὰ ἡμίση τούτων καὶ γίνονται μβ′ δ″. ὡσαύτως εὑρίσκεται καὶ τὸ ἓν πλάγιον ἔχον καλάμους

1 πολλ. ... εὑρ.] L, καὶ γὰρ εὑρ. πολλ. Db, καὶ γὰρ εὑρ. W - ὁ ... τόπος] DLW, om. b - 1-2 πρὸς ... ἔχων] b, πρὸς μὲν τῇ κεφαλῇ ἔχειν W, κεφαλὴ μὲν ἔχουσα D, ἔχων ἐν τῇ κεφαλῇ L - 2 καλ. ς′ c″] DLb, καλάμια ς′ W - πρὸς ... πόδα] b, πρ. δ. τῶν ποδῶν W, ὁ δὲ πούς D, ὁ πούς L - 2-3 καλάμους ζ′] L, ζ′ Db, καλάμια ζ′ c″ W - 3 ἅπ. ἑν. γίν.] D, ἃ ἑν. γίν. b, ὁμοῦ οἱ δύο L, ἤγουν W - 3-4 εἰς ... κ′] D, αὐτοῖς καὶ τὸ ἥμισυ τῶν ιγ′ καὶ γίνονται κ′ b, καὶ σὺ τὸ ἥμισυ τῶν ιγ′ c″ καὶ γίνονται κ′ L, μετ᾽ αὐτῶν καὶ τὰ ἡμίση τῶν ιγ′ c″ ἤγουν ς′ c″ καὶ γίνονται τὰ ἀμφότερα κ′ W - 4 περὶ ... οὐκ] DL, περὶ γ. τὸ ἥμισυ τ. ἡμ. οὐκ b, om. W - 5 ἔστι] b, ἔστιν L, εἶναι D, om. W - π. ζήτ.] Db, ἀνάγκη πολυπραγμονῆσαι L, om. W - εὑρίσκεται] DLb, δὲ ἔχει W - καὶ] DLW, om. b - 6 τοῦ ... ἔχον] DLb, om. W - καλάμους ις′ c″] DLb, καλάμια κδ′ W - ιζ′] DLb, κς′ W - 7 ἅπερ ... πρόσθες] DLb, om. W - ὁμοίως] b, om. DLW - εἰς αὐτὰ] D, ἐν αὐτοῖς καὶ b, αὐτοῖς καὶ σὺ L, om. W - 7-8 τὸ ... ν′] DLb, om. W - 8 ὅθεν] DL, καὶ b, om. W - εὑρίσκεται] DLb, om. W - 8-9 ὁ τ. τόπος] Db, om. LW - 9 ἡ ... ποδὸς] DLb, om. W - 9-10 ἔχ. ... συναν.] D, ἔχει b, om. LW - 10 καλ. κ′] DLb, om. W - τὰ ... λέγε] Db, τὰ δὲ δ. πλ. καλάμους ν′ καὶ ψήφισον L, ἰδοὺ τῶν δύο πλαγίων καλάμια ν′ W - οὕτως] Lb, om. DW - 11 κ′ ν′· ͵α] DLb, πολυπλασίασον τὰ κ′ μετὰ ν′ ἤγουν εἰκοσάη πεντήκοντα· ͵α W - καὶ ... α′] L, κ. ἔστ. ὁ τοιοῦτος τόπος χιλ. μιᾶς b, κ. ἔστ. ὁ τόπος οὗτος χιλ. μιᾶς W, om. D - 12 μετρ. ... τόπ.] D, ἕτερον L - μὲν] D, om. L - ἡ κεφ.] L, τὴν κεφαλὴν D - 13 ὁ ... καλ.] ὁ πούς καλ. L, τὸν δὲ πόδα καλάμων D - 14 κη′ c″] L, κη′ D - εἰς αὐτὰ] D, om. L - 15 δ″] L, καὶ τέταρτον ι′ c″ D - εὑρ.] D, om. L - ἔχον D, om. L - καλ.] L, om. D




ιθ′ c″, τὸ δὲ ἕτερον κβ′ καὶ φυτὸν ἓν ἤγουν τὸ τρίτον τοῦ καλάμου ὡς εἰπεῖν τέταρτα ιδ′, ἅπερ ἑνούμενα γίνονται μα′ c″, πρόσθες εἰς αὐτὰ καὶ τὸ ἥμισυ τούτων καὶ γίνονται ξβ′ c″. ὅθεν εὑρίσκεται τοῦ τοιούτου τόπου ἡ μὲν κεφαλὴ σὺν τῷ ποδὶ ἔχουσα σὺν τῷ ἀναβιβασμῷ καλάμους μβ′δ″, τὰ δὲ δύο πλάγια ξβ′c″. καὶ λέγε οὕτως· μ′ ξ′· ͵βυ′, δὶς μ′· π′, τὸ ἥμισυ τῶν μ′· κ′, δὶς ξ′· ρκ′, δὶς β′· δ′, τὸ ἥμισυ τῶν β′· α′, ὁμοῦ ͵βχκε′. περὶ δὲ τοῦ τετάρτου, ὅταν συναπαρτίζῃ, ἢ τὸ ἥμισυ ἢ τὸ τρίτον οὐκ ἔστι πολλὴ χρεία, καὶ σώζει ὁ τοιοῦτος τόπος χιλιάδων β′ φυτῶν χκε′. κατὰ μίμησιν δὲ τοῦ τοιούτου τόπου μετρῶνται καὶ οἱ λοιπαὶ πᾶσαι χιλιάδες. ὁ δὲ κάλαμος ἔχει τέταρτα μβ′, εἰς δὲ τινὰς τόπους τέταρτα λς′.

**II. 19**

Ἕτερον μέτρον τοῦ Κόλπου.

Ὀφείλει ἔχειν τὸ καλάμιον σπιθαμὰς βασιλικὰς ιδ′ ἤγουν γρονθίσματα μβ′ τιθεμένου καὶ τοῦ ἀντίχειρος, πλὴν οὗτος ὁ κάλαμος ἐνεργεῖ ἐπὶ τοῖς μετρουμένοις καὶ ἐκδιδομένοις τόποις ἐμμίσθως ὥστε γενέσθαι κύλισμα ἀμπέλιν. ἐπὶ δὲ τοῖς πεφυτευμένοις καὶ ἀπηρτισμένοις ἀμπελῶσι καὶ ἢ πωλουμένοις ἢ ἐκδιδομένοις ἐχέτω ὁ κάλαμος σπιθαμὰς ιβ′ ἤγουν γρονθίσματα λς′. μετρῶνται δὲ οὕτως·




Ἡ κεφαλὴ καλάμια η′, ὁ πούς η′, πρόσθες καὶ ἕτερα η′ κατὰ τὸ τοῦ τόπου ἔθιμον, ὁμοῦ κδ′, τὰ δύο πλάγια κ′, πρόσθες καὶ ἕτερα ι′, ὁμοῦ λ′, καὶ εἰπέ· κ′ λ′· χ′, καὶ δ′ λ′· ρκ′, ὁμοῦ ψκ′, καὶ ἔστι φυτῶν ψκ′.

1 δὲ] D, om. L - φυτὸν ἓν] D, φυτῶν θ′ L - 2 ὡς ... τέτ.] L, ἔχον τὸ δὲ τέταρτον D - 3 εἰς ... καὶ] D, om. L - 4 τόπου] D, om. L - 4-5 σὺν τῷ ποδὶ] L, μετὰ τοῦ ποδὸς D - 5 τῷ ἀν.] L, τοῦ ἀναβιβασμοῦ D - 6 οὕτως] D, om. L - δὶς μ′] L, καὶ σαραντάϊ β′ D - 7 τὸ[1]] L, καὶ τὸ D - 8 ͵βχκε′] L, γῆ χιλιάδων δύο φυτῶν χκε′ D - δὲ] D, γὰρ L - 8-9 ὅταν ... τρίτον] D, om. L - 9 ἔστι] L, εἶναι D - πολλὴ] D, om. L - 10 σώζει] D, ἔστιν L - τοιοῦτος] D, om. L - 10-12 κατὰ ... πᾶσαι] D, om. L - 12 χιλιάδες] χιλιάδαι D, om. L - 12-13 ὁ ... λς′] L, om. D

**II. 20**

### Ἕτερον μέτρον τῆς Κίου τοῦ Καταβόλου καὶ τῶν Πυθίων.

Ἔστιν ὁ κάλαμος τῶν αὐτῶν τοποθεσίων ἡμίτμητος καὶ ἔχει ἐπὶ μὲν τῶν ὀφειλόντων φυτευθῆναι κυλισμάτων σπιθαμὰς ζ' ἤγουν γρόνθους κα', ἐπὶ δὲ τῶν πεφυτευμένων καὶ ἀπηρτισμένων σπιθαμὰς ς' ἤγουν γρόνθους ιη', ἔχοντος τοῦ πρώτου γρόνθου καὶ τὸν κόνδυλον ὡς εἴρηται. μετρᾶται δὲ οὕτως ὡς ἐπὶ παραδείγματος·

ις'
κ' κ'
ις'

Ἡ κεφαλὴ ἔχει σὺν τῷ ποδὶ καλάμια λβ', <ἔα τὰ ις', τὰ δὲ ις' μόνα κράτει>, καὶ διὰ τὸ εἶναι <τὰ δύο πλάγια> καλάμια μ', ἔα τὰ κ', τὰ δὲ κ' μόνα κράτει, καὶ εἰπέ· ις' κ'· τκ', καὶ ἔστιν ὁ τόπος φυτῶν τοσούτων ἤγουν τκ'.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι οἱ συναμπελισμένοι ἀμπελῶνες, τὰ κηπία καὶ τὰ σικυήλατα, τὰ περιβόλια, τὰ ἐνθύρια, τὰ λιβάδια μετὰ τοῦ κυλισματικοῦ καλάμου μετρῶνται ἤγουν τοῦ μικροτέρου, ἔνθα ἐστὶν εὐχρηστότερος καὶ εὐπροσοδώτερος ὁ τόπος.

**II. 21**

### Τῶν Πυθίων.

Δέον σε μετρᾶν τὸν βλε[πόμε]νον τόπον διὰ τεσσάρων ἤγουν ἐκ δύο πλαγίων, κεφαλῆς καὶ ποδός. καὶ ἔχει ἡ κεφαλὴ [καλά]μια ι', ὁ δὲ πούς κ', ἅπερ ἑνούμενα γίνονται καλάμια λ' καὶ πάλιν κοπτόμενα μέσον γίνονται ιε', τὰ γὰρ ἕτερα ιε' ὑφείλονται καὶ οὐ συναριθμοῦνται εἰς τὰ ὁμάδια. ὡσαύτως καὶ τὸ ἓν πλάγιον ν' καὶ τὸ ἕτερον π', ὁμοῦ ρλ', καὶ πάλιν κοπτόμενα καὶ αὐτὰ μέσον γίνονται ξε', τὰ γὰρ

15 ἀμπελῶνες] ἀπελῶνες Υ - 17 ἤγουν] ἢ κε Υ - 20 Πυθίων] Πύθων D



ἕτερα ξε' ὑφείλονται καὶ οὐ συναριθμοῦνται εἰς τὰ ὁμάδια. καὶ δηλῶσιν ἐκ τού[των] τὸ μέτρον, ὅτι ἔχει ἡ κεφαλὴ καλάμια ιε' σὺν τῶν ποδῶν, τὰ δύο πλάγια ξε' καὶ λέγε οὕτως· πεντεκαιδεκάει ξ'· ϡ', καὶ ιε' ε'· οε', ὁμοῦ ϡοε', καὶ ἔστιν ὁ τοιοῦτος τόπος φυτῶν ϡοε'.

Ὅταν δὲ ἔχῃ ἡ κεφαλὴ κ', ὁ δὲ πούς κ', γίνονται κ', τὰ δὲ ἕτερα κ' οὐ συναριθμοῦνται εἰς τὰ ὁμάδια. <ὡσαύτως καὶ ὅταν ἔχῃ τὸ ἓν πλάγιον ν' καὶ τὸ ἕτερον ν', γίνονται ν', τὰ γὰρ ἕτερα ν' οὐ συναριθμοῦνται εἰς τὰ ὁμάδια.> καὶ δηλῶσιν ἐκ τοῦ τοιούτου τόπου, ὅτι ἔχει ἡ κεφαλὴ σὺν τοῦ ποδὸς καλάμια κ', τὰ δὲ δύο πλά[για ν'], καὶ λέγε οὕτως· εἰκοσάει ν'· ͵α, καὶ ζητεῖ ὁ τοιοῦτος τόπος χιλιάδα α'. ὁ δὲ κά[λαμος] τοῦ τοιούτου τόπου ἐστὶ σπιθαμῶν + θ' + ἤγουν τέταρτα + ιδ' +.

**II. 22**

### Περὶ ἀμπελοφύτων.

Πρόκειται ἐντεῦθεν εἰπεῖν περὶ μέτρου ἀμπελοφύτου γῆς, καὶ πῶς ἐν μὲν τοῖς ἄλλοις τῷ μεσασμῷ τοῦ πολυπλασιασμοῦ ὡς δεδήλωται οἱ γεωμέτραι μοδίζουσιν, ἐνταῦθα δὲ ταῖς ἀπὸ τοῦ πολυπλασιασμοῦ ἁπλῶς ὀργυιαῖς διακοσίαις, καὶ περὶ τῆς λεγομένης χιλιάδος πόθεν ὠνόμασται καὶ ἀντὶ πόσων ταύτην μοδίων γῆς καταλογίζεσθαι δεῖ, καὶ ἢ ἄρα ἐνδέχεται ἀμφότερα ἐπιστημόνως λέγειν ἢ ἀμφότερα ὡς ἔτυχεν ἢ τὸν μὲν ἐπιστημόνως, τὸν δὲ ὡς ἔτυχε τῶν λεγόντων τὴν χιλιάδα τριῶν ἢ τεσσάρων ἢ πέντε μοδίων εἶναι γῆν, καὶ ὅστις ἐκ τούτων ἠκριβωμένως ὁρίζεται, περὶ ὧν καὶ ἀρξάμενοι λέγομεν.

Τὸ μὲν οὖν τοὺς μοδίζοντας τὴν ἁπλῶς γῆν μετὰ τὸν τε-

4 ϡοε'] ϡεο D - 15 περὶ ἀμπ.] C, om. D - 16 πρ. ἐντ.] C, νῦν δὲ πρόκειται D - γῆς] C, γῆν D - 17 μὲν] D, om. C - 18 ταῖς] D, τῷ C - 19 ὀργυιαῖς] D, omn. locis οὐργία cas. obl. C - διακοσίαις] διακοσίοις CD - 20 ταύτην] D, ταύτης C - 21 ἢ] εἰ D, om. C - ἐνδ.] D, ἀναδέχεται C - 22 ἐπιστ. ... ἀμφ.] D, λέγει ἐπιστ. ἢ ἀμφότεροι C - 23 τὸν] D, τοὺς C - ἔτυχε] C, ἔτυχεν D - λεγόντων] C, λεγομένων D - 24 γῆν] D, τὴν γῆν C - 25 ἠκριβωμένως] D, ἠκριβωμένα C

τραγωνισμὸν καὶ τὸν ἀπὸ τῆς ἐπερωτήσεως πολυπλασιασμὸν κατὰ τὸν μεσασμὸν τῶν πολυπλασιασθέντων σχοινίων τὸν μοδισμὸν προσλαμβάνεσθαι καὶ τὸ τοὺς πολυπραγμονοῦντας τὴν ἀμπελόφυτον κατὰ διακοσίας ὀργυιὰς καταλογίζεσθαι τοῦ μοδίου τὴν γῆν οὐκ ἄλλο καὶ ἄλλο ἐστίν· ὃ γὰρ ἐκεῖσε ὁ μεσασμός, τοῦτο ἐνταῦθα αἱ σʹ ὀργυιαί. οὐδὲ γάρ ἐστι μεσασμὸς ὁ λεγόμενος μεσασμός, ὡς πολλάκις εἰρήκαμεν, ἀλλὰ κατὰ δύο σχοινία ἤτοι δύο τετράγωνα ἐκ δύο σχοινίων γινόμενα γῆς μοδίου ἀπόδοσις. τοίνυν καί φαμεν οὕτω τοῦ λεγομένου σημαίνοντος, ὅτι, ὅπερ ἐκεῖσε τὰ δύο σχοινία, τοῦτο ἐνταῦθα αἱ σʹ ὀργυιαί. τὸ γὰρ ἓν σχοινίον δέκα ὑπάρχει ὀργυιῶν, εἰ τετράγωνον κινηθὲν ποιήσει ἔχον <κατὰ μῆκος> καὶ κατὰ πλάτος δέκα ὀργυιάς, ἐρωτηθήσονται καὶ ἔσται τὸ πᾶν ὀργυιῶν ρʹ· τὸ γὰρ δεκάκις δέκα εἰς ρʹ ἀναβιβάζεται, ὥστε, εἰ τὸ ἓν μονόσχοινον τετράγωνον ἰσόπλευρον, ὅπερ ἡμίσεος εἶναι μοδίου ἀπεφηνάμεθα, χωρήσεώς ἐστι κατὰ πλάτος καὶ μῆκος ὀργυιῶν ἑκατόν, ἄρα τὰ δύο ταῦτα τετράγωνα ὀργυιῶν διακοσίων καθεστήκασι, καὶ ἔστι ταὐτὸν τότε εἰπεῖν δύο σχοινίων εἶναι τοῦ μοδίου τὴν γῆν καὶ τὸ φάναι τὰς σʹ ὀργυιὰς τοῦ πολυπλασιασμοῦ γῆν ἀπονέμειν μοδίου ἑνός· ἀμφότερα γὰρ τά τε δύο σχοινία καὶ αἱ σʹ ὀργυιαί, ἐπεὶ τὰ αὐτὰ καὶ δύο ἀποτελοῦσι τετράγωνα, ἄρα καὶ τῆς αὐτῆς δυνάμεως καθεστήκασι. τοιγαροῦν τοῦ δοκοῦντος μεσασμοῦ ἀποδιδομένου ὡς μεσασμοῦ ἀπορεῖ τις. εἶναι ἐγκαταφαίνεται ἐνδεχομένως, ὅτι, ὡς ἐκεῖσε τὰ σχοινία μεσάζονται, διατὶ μὴ καὶ ἐνταῦθα αἱ ὀργυιαὶ τοῦ μεσασμοῦ μὴ εἶναι ὡς μεσασμοῦ ἀποδεικνυομένου, ἀλλ᾽ ὡς δύο σχοινίων ἀφορισμοῦ καθ᾽ ἕκαστον

1 τῆς] D, om. C - 2 κατὰ] D, καὶ κατὰ C - τῶν πολυπλ.] D, τὸν τῶν πλασθέντων C - 4 διακοσίας] διακοσίους CD - 5 οὐκ ... ἐστίν] D, καὶ οὐκ ἄλλω καὶ ἄλλον εἶναι C - ὃ] D, om. C - 7 ὁ ... μεσ.] D, om. C - 9 μοδίου] C, μοδίων D - 9-10 φαμ. ... σημ.] φάναι οὕτως τοῦ λεγ. σημ. D, τοῦ λεγ. οὕτω συμβαίνοντός φαμεν C - 13 δέκα ὀργ.] D, οὐργίας ιʹ C - 14 πᾶν] D, πρᾶγμα C - 16 μοδίου] μοδ C, μοδίων D - 17 ταῦτα] D, τὰ τοιαῦτα C - 19 σχοινίων] D, σχοινία C - 20 ὀργ. τ. πολ.] D, τοῦ πολ. οὐργίας C - ἀπονέμειν] D, ἀπονέμει C - 21 αἱ] D, om. C - ἐπεὶ] C, ἐπειὸν D - 22 ἀποτελοῦσι] C, ἀποπληροῦσι D - 25 ἐνδεχομένως] ἐνδεχομένους C - 27 ὡς] ᾧ C



μόδιον ἤτοι τετραγώνων βʹ ἐκ βʹ σχοινίων δεκαοργυίων γεγενημένων ὁμοῦ εἰς ἕκαστον μόδιον, οὐδεμίας ἐπινενόηται ἀπορίας ὑπόθεσις, διότι καὶ ταῦτα κἀκεῖνα τῆς αὐτῆς καθορῶνται ἀπροσκόπτως δυνάμεως, κἂν τὸ πρᾶγμα διενήνοχε, καὶ ὑπάρχουσι τά τε δύο τετράγωνα σʹ κατὰ πλάτος καὶ μῆκος ὀργυιαὶ καὶ αἱ σʹ ὀργυιαὶ δύο τετράγωνα ἰσόπλευρα μονόσχοινα δεκαόργυια. μᾶλλον δὲ οὖν καὶ ἐντεῦθεν γίνεται φανερώτερον, ὅτι οὐχὶ μεσασμός ἐστιν ὁ λεγόμενος μεσασμὸς ἀλλὰ βʹ σχοινία τῷ ἑνὶ ἀπόδοσις, καὶ οὐδὲ δύο σχοινία ἁπλῶς ἀλλ᾽ ἐκ πάντων διὰ ἰσοπλεύρων συνιστῶνται πλευρῶν ἰσόπλευρον τετράγωνον, ἢ πῶς ὁ τὸν μεσασμὸν ἤτοι τὰ δύο σχοινία ἀποδιδοὺς ἐν τῷ ἑνὶ μοδίῳ αὐτὸς καὶ τὰς σʹ ὀργυιὰς ἀποδίδωσι ἐν τῷ αὐτῷ ἑνὶ μοδίῳ· οὕτως οὖν οὐδεμία διαφορὰ οὐδὲ ἀπορία πρὸς τὴν παροῦσαν τῆς ἀντιθέσεως ἔνστασιν.

Διὸ οὐδὲ πάντοτε τὴν ἀμπελόφυτον ὀργυιαῖς μοδίζουσιν ἀλλ᾽ οὐδὲ σχοινίοις τὴν χέρσον, ἐναλλάσσουσι δὲ πολλάκις ὡς τῆς οὕτως ἢ οὕτως ὀφειλούσης γίνεσθαι τῆς πράσεως ἀπηρτημένοι τῇ γνώμῃ πράττοντες, τότε μέντοι τὸ λέγειν τὴν χιλιάδα ποτὲ γʹ μοδίων γῆν ποτὲ δὲ δʹ ποτὲ δὲ εʹ καὶ μὴ ἑνί τινι ἵστασθαι σκοπῷ δοκεῖ ἐξ ἀπραγματεύτου γίνεσθαι διανοίας. δεῖ δὲ πάντως τοῦτο <τὸ> τῆς χιλιάδος ἐξετᾶσαι ὄνομα, τί ἐστι, καὶ ἀναλογίσασθαι, ἆρα κενῶς τοῦτο λέγεται, ἆρα ἡ χιλιὰς οὐκ ἔστιν ὡς ἐν ἀριθμῷ χιλιάς. καὶ ἐὰν ὡς ἐν ἀριθμῷ ἡ χιλιάς ἐστι χιλιὰς καὶ μηδὲ κενῶς τοῦτο τὸ ὄνομα τοῦ ἀριθμοῦ ὀνομάζεται, οὐδὲν γὰρ τῶν πάντων κενῶς τοῦ τόσου τυγχάνειν ἀριθμοῦ ἐπὶ τοσούτων χρόνων ὡς λογίζομαι λέγεται. σκοπῆσαι ὑπάρχει ἀναγκαῖον, κατὰ τί ἐνταῦθα τὸ τῆς χιλιάδος φέρεται ὄνομα, καὶ μετὰ τὸ εὑρεῖν κατὰ τί λέγεται τοῦτο, τηνικαῦτα καὶ τὸν ἀληθῆ μοδισμὸν ἐπειδὴ τῆς χιλιάδος ὁ τόπος ἐστί. καὶ ἰδοὺ οὕτω σκοποῦμεν·

᾽Επεὶ τὸ τῆς χιλιάδος ὄνομα τῇ ἀμπελοφύτῳ ἐπάγεται, κατὰ τέσσαρας τρόπους ἐπάγοιτο ἄν· ἢ γὰρ κατὰ τὸν μοδισμὸν

1 δεκαοργυίων] δεκαούργιον C - 12 ἐν ... μοδίῳ] ρʹ C - σʹ] om. C - 13 ἀποδίδωσι] ἀποδεδώκει C - 15 μοδίζουσιν] μοδίζουσι C - 16 σχοινίοις] σχοινίων C - 17-18 ἀπηρτημένοι] ἀπηρτισμένης C - 18 πράττοντες] πράττοντος C - τὸ] ὕ C - 20 ἀπραγμ.] ἀπράγματος C - 30 ἐστί] ἐστίν C - ἰδοὺ] μηδὲ C

ἢ τὰ τῶν κλημάτων φυτὰ ἢ τὰ ἐν μέσῳ τῶν κλημάτων διαστήματα ἢ κατὰ τὰς μοδιζούσας τὴν ἀμπελόφυτον ὡς ἐπὶ τοῦ πολυοργυίου. ἀλλὰ κατὰ μὲν τὸν μοδισμὸν χιλιάδα καλεῖσθαι τὴν χιλιάδα πάντως τυγχάνει ἀπίθανον. ποῦ γὰρ ἂν εὑρεθῇ ἀμπέλιον μέτρου μοδίων ,α παρ' ἑνός τινος ἰδιοποιούμενος; χιλιάδες δὲ πολλαὶ πολλάκις παρ' ἑνὸς δεσπόζεσθαι λέγονται, ἀλλὰ καὶ τῆς ὅλης ὑποταγῆς τοῦ χωρίου μόλις ποτὲ μοδίων ,δ εὑρισκομένης, ἀφ' ὧν τὸ πλεῖστον ἀρόσιμον καὶ νομαδιαῖον, χιλιάδα ἀμπέλων ἴσως μανθάνομεν ὑπάρχειν ἐν αὐτῷ ἐπέκεινα τῶν γ'. οὐκ ἄρα διὰ τὸ μέτρον τοῦ μοδισμοῦ ἡ χιλιὰς ἐν τοῖς ἀμπελῶσιν ὠνόμασται, ἀλλ' οὐδὲ διὰ τὰ κλήματα ἢ ἐν μέσῳ τῶν κλημάτων διαστήματα.


Τῶν γὰρ κλημάτων καὶ τῶν διαστημάτων ἡ χιλιὰς ὀλίγον τι πλέον τῆς τοῦ μισοῦ μοδίου παραλαμβάνει γῆς, οἷα τῆς τοῦ ὅλου μοδίου γῆς κλήματα μὲν δεχομένης ,αωϟα', διαστήματα δὲ τῶν κλημάτων ἐχούσης ,αω', τοίνυν καὶ τῆς κατὰ κλήματα χιλιάδος μηδὲ ὡς πρὸς μόδιον γῆς ἐνδεχομένης καταλογίζεσθαι μήτοι γε ὡς πρὸς τριμόδιον ἢ τετραμόδιον καὶ πενταμόδιον. πῶς δυνατόν ἐστιν ἢ καὶ ἀληθὲς τὸ κατὰ τὸν ἀριθμὸν τῶν κλημάτων αὐτὴν ὀνομάζεσθαι, ἵνα δὲ καὶ τὴν περὶ τῆς φυτῆς τῶν κλημάτων ἀριθμὸν μὴ δέξωμεν ἀνεπιστημόνως ἐκτίθεσθαι — εἴπομεν γάρ, ὅτι τῶν κλημάτων καὶ διαστημάτων ἡ χιλιὰς ὀλίγον τι πλέον τῆς τοῦ ἡμίσεος μοδίου περιλαμβάνει γῆς —, τὸ ἀκριβὲς τῆς εἰδήσεως σαφηνίσαι σπουδάσομεν.

Ηὑρήκασι τοῦτο συμφέρον οἱ γεωργοί, οἱ τὴν ἀμπελόφυτον γῆν ἐργαζόμενοι καὶ πρὸς τὸ ἀμπελόφυτον εἶναι κατασκευάζοντες, τὸ ποιεῖν παρὰ τῇ φυτείᾳ ἕκαστον τῶν κλημάτων θ' παλαιστὰς ἐκ τοῦ πλησίου ἀπέχεσθαι, κἀντεῦθεν τῆς μὲν πρώτης ἐντὸς ὀργυιᾶς κλήματα μὲν φυτεύεσθαι δ', διαστήματα δὲ περιέχεσθαι γ', καὶ τὸ ἓν τῶν δ' κλημάτων καὶ τελευταῖον ἕνωσιν εἶναι τῆς πρώτης καὶ τῆς μετ' αὐτὴν ὀργυιᾶς, ἐν δὲ ταῖς ἑξῆς ὑπάρχει διαστήματα γ' καὶ κλήματα γ', διὰ τὸ

1 τὰ[1]] τὴν C - φυτὰ] φυτῶν C - 7 ὅλης] ἄλλης C - 8 ,δ] δ' C - εὑρισκομένης] εὑρισκομένη C - 9 μανθ. ὑπ.] μανθ. ὑπ. μανθ. ὑπ. C - 17 μόδιον] μοδίου C - 25 ηὑρήκασι] εὑρίκασι C - 28 πλησίου] πλησίον C - 29 ὀργυιᾶς] οὐργιῶν C



ἀεὶ τὸ ἐν ἀρχῇ ταύτης ὡς τέλος τῆς αὐτῆς ὂν ἐκεῖσε ψηφίζεσθαι, ἐν δὲ ταύτῃ καταλιμπάνεσθαι, ὥστε διὰ πάσης τῆς φυτῆς συμβαίνειν ἕνα στίχον κλημάτων τῷ μήκει καὶ ἕνα τῷ πλάτει ὑπάρχειν τοῦ μέτρου τῶν διαστημάτων ἐπέκεινα, εἴτε ἐπὶ ἔλαττον εἴτε ἐπὶ πολὺ πλέον ὁ φυτευόμενος ἀμπελὼν ὑπερεκτανθεῖ. ἐν πᾶσι γὰρ τούτοις κατὰ δύο μόνον στίχους — ἕνα τῷ μήκει καὶ ἕνα τῷ πλάτει ὡς ἐδηλώσαμεν — τὰ κλήματα τῶν διαστημάτων ἐπέκεινα καθορᾶται ἐπόντα. καὶ τοῦτο καταλελοίπασιν οἱ παλαιότεροι τοῖς ἐφεξῆς καὶ ἀπειροτέροις οἱ ἐμπειρότεροι ὥσπερ κανόνα τῆς τέχνης καὶ ὅρον ἐξαίσιον τὸ ἀλλήλων ἀπέχεσθαι τὰ κλήματα παλαιστὰς θ', πράττειν δὲ τοῦτο αὐτοὶ ἐγνώκησαν οὐκ εἰς μόνον τὸ κατὰ πλάτος διάστημα, ἀλλὰ <καὶ> εἰς μῆκος μέτρῳ τινὶ καὶ σπαρτίῳ τὸ ἀκριβὲς φυλαττόμενοι, <ἵνα τὰ κλήματα> ὄντως ἀπὸ διαστήματος ἴσου πάντοθεν ἀπέχωσιν ἀλλήλων καὶ τὴν τοῦ συμφέροντος ὁμοίως ἔκβασιν ἔχωσιν. ἀλλ' ὅτι τῶν διαστημάτων τοῖς στίχοις τὰ κλήματα περιττεύουσι καὶ ὅτι ἐν μὲν τῇ πρώτῃ ὀργυιᾷ δ' κλήματα καὶ γ' διαστήματα, ἐν δὲ ταῖς ἑξῆς ἀνὰ γ', ὅρα τὰς καθ' ὑπόθεσιν ἐκτεθείσας μονάδας καὶ δῆλον γενήσεται, ὅτι καθ' ἕνα τινὰ ἀριθμὸν ἐν τῷ πλάτει καθ' ἕνα τῷ μήκει οἱ στίχοι τῶν κλημάτων περισσότεροι τῶν διαστημάτων εὑρίσκονται καὶ ὅτι αὐτοὶ μὲν ἑπτὰ ἐκεῖνοι δὲ ἕξ.




Ἐπεὶ δὲ τοῦτο οὕτως ἔχειν παρεδόθημεν τὰ ἐπιστήμης πολλῆς τοῦ ἐκβαίνοντος ἀγαθοῦ καὶ ἐφεξῆς ἡ παράδοσις τὸ ἀμετάθετον τῆς πράξεως διεβεβαιώσατο καὶ τίνα τοῦ πράγματος τέχνην ἐκατεσκεύασε πειθοῦσα φυλάττειν ἐν πᾶσι τὴν

3 φυτῆς] φυτοῦ C - 8 ἐπέκ. καθ. ἐπ.] ὑπέκεινα καθορᾶσθαι ἐποῦσαν C - 9 παλαιότεροι] ὑ' (with οι written above) C - 15 ἀπέχωσιν] ἀπέχουσιν C - 16 στίχοις] τοίχοις C

τοῦ ψηφισμοῦ καὶ τοῦ μέτρου ταυτότητα καὶ μὴ φροντίζειν τῆς γινομένης ἐπί τισιν ἴσως διαφορᾶς δι' ἀμάθειαν ἢ ἀπειρίαν ἢ ἄλλην τῶν φυττόντων διάθεσιν, εἴπομεν γάρ, ὅτι τὸ ἐπὶ πολὺν τοῦ ἐπ' ἔλαττον βεβαιότερον, ὥσπερ τὸ κατὰ φύσιν τοῦ παρὰ φύσιν καὶ τοῦ ἠναγκασμένου τὸ κατ' οἰκείαν φορὰν κινούμενον ἀσφαλέστερον. ὅρα τὸ μετὰ ταῦτα ἀποτελούμενον· εἰ γὰρ ἐν τῇ πρώτῃ ὀργυιᾷ τρία ἐπέχονται διαστήματα καὶ τέσσαρα κλήματα καὶ τὸ τέταρτον ἀρχὴ τῆς δευτέρας γίνεται ὀργυιᾶς, κἀντεῦθεν ἐπὶ ταῖς ἐφεξῆς ὀργυιαῖς καὶ ἄχρι τέλους οὐδέν τι πλέον τῶν γ' διαστημάτων καὶ κλημάτων γ' διαλαμβάνονται — ἔχει δὲ τὸ σχοινίον ὀργυιὰς ι' —, ἄρα γε τοῦ σχοινίου ὅλου λ' μὲν περιέχονται διαστήματα, κλήματα δὲ λα', καὶ δι' ὅλα δύο σχοινία ξ' μὲν διαστήματα, κλήματα δὲ ξα' — εἷς γὰρ ἐπὶ πᾶσι περιττεύει <ὁ> ἀριθμὸς <τῶν> κλημάτων, ὡς πολλάκις εἰρήκαμεν —, καὶ ἐπεὶ τοῦ μοδίου ἡ γῆ πλάτος μὲν ἔχει σχοινίον α', μῆκος δὲ β' σχοινία, ἤτοι ἐν μὲν τῷ πλάτει λ' διαστήματα καὶ κλήματα λα', ἐν δὲ τῷ μήκει ξ' διαστήματα καὶ κλήματα ξα', καὶ διὰ πάντων τῶν κατὰ μῆκος καὶ πλάτος διαστημάτων ἐπίσης θ' παλαιστὰς τὴν ἀπ' ἀλλήλων ποιοῦσι διάστασιν, ἐρωτηθήτωσαν <τὰ> τοῦ μήκους ὡς πρὸς τὰ τοῦ πλάτους κλήματα καὶ εὑρεθήσονται κλήματα μὲν ͵αωϞα', διαστήματα δὲ ͵αω', καθὼς προλαβόντες ἀπεφηνάμεθα. καὶ ἐπεὶ ταῦτα οὕτως ἔχει καὶ ἡ χιλιὰς τῶν φυτῶν τι πλέον τῆς τοῦ ἡμίσεος μοδίου παραλαμβάνεται γῆς, πάντες δὲ οἱ περὶ τῆς χιλιάδος καὶ τοῦ καταλογιζομένου αὐτῇ μοδισμοῦ <ἀσχολούμενοι> τοσοῦτον ἐλάττονα ταύτην εἶναι τοῦ μοδίου οὐδὲ τὸ παράπαν κατὰ νοῦν ἀποφήνασθαι ἔλαβον, ἀλλ' οἱ μὲν πενταμοδιαίαν, οἱ δὲ τριμοδιαίαν ταύτην τυγχάνειν ἀποδεδώκησαν, καὶ διὰ ταῦτα οὐκ ἐνδέχεται ὅλως οὐδὲ κατὰ τὸ μέτρον τῶν φυτῶν ἢ τῶν ἀπ' ἀλλήλων διαστημάτων τοῦτο, αὐτὸ τὸ τῆς χιλιάδος ὀνομάζεσθαι ὄνομα.

Καὶ τοὺς μὲν τρεῖς τρόπους, ἂν συντελῇς εἰς τοῦτο αὐτό, ὑπεδείξαμεν, λείπεται <δὲ> κατὰ τὸν ἕνα τρόπον τὸ τῶν

13 ὅλα] ὅλου C - 16 σχοινίον] σχοινία C - 19 παλαιστὰς] παλαισταὶ C - 28 πενταμοδιαίαν] πενταμοδιαίοις C - τριμοδιαίαν] τριμοδιαίων C - 32 τρόπους] τόπους C



ὀργυιῶν φημι μέτρον τὸ ταύτης ἐπάγεσθαι ὄνομα. εἰ γὰρ μήτε διὰ τὸ ποσὸν τῶν μοδίων ἡ χιλιάς, μήτε διὰ τὸ ποσὸν τῶν κλημάτων καὶ τῶν διαστημάτων αὐτῶν ἄρα γε εἶναι, λείπεται εἶναι διὰ τὸ ποσὸν τῶν ὀργυιῶν. εἰ δὲ διὰ ταύτας πενταμοδιαίαν ἄρα τοῦ λοιποῦ ὀφείλουσαν ὑπάρχειν καθορῶμεν αὐτὴν καὶ οὐ κατὰ ἄλλον τινὰ μοδισμοῦ ἀριθμόν — ἡ γὰρ τοῦ μοδίου ἡ γῆ σ' ὀργυιὰς ὡς ἐδηλώθη πεπόσωται —, ἄρα γε τῇ χιλιάδι πέντε μοδίων ἀναλογεῖ γῆ· πέντε οὖν ἄρα μοδίων τυγχάνειν ἡ χιλιάς, ὡς ὁ λόγος ἀπέδειξεν, συνᾴδει δὲ τούτῳ καὶ ἡ σύμφημός φημι καὶ ἡ ἔμπρακτος ἕξις ἐν ταῖς φυτείαις καὶ ταῖς λοιπαῖς ἐργασίαις τῶν γεωργῶν, ἀλλὰ καὶ ἡ τῶν παλαιοτέρων καὶ ἡ ἐξ αὐτῶν πρὸς τοὺς μετὰ τούτους καθολικὴ παράδοσις, ὡς ἔχομεν ἔναυλον τὴν κατάληψιν. καὶ γὰρ κἀκεῖνοι τετραγωνίζειν τὸν ἀμπελῶνα ὁμοίως διδάσκουσιν οὐχὶ σχοινία δέκα ὀργυιῶν τὸ τοῦ μέτρου ποσὸν ἐπεκτείνοντες, οὐδὲ σχοινία σχοινίοις ἀντιπερατοῦνται καὶ πολυπλασιάζονται, ἀλλ' ὀργυιὰς ὀργυιαῖς, καὶ τὸν ἁπλῶς ἐκ τοῦ πολυπλασιασμοῦ τῶν ἀναβιβασθέντων ὀργυιῶν ἀριθμόν, τοῦτον εἶναι τοῦ ἀμπελῶνος προτρέπονται. οἷόν τι λέγομεν, εὑρέθη τις ἀμπελὼν ἔχων τὰς μὲν πλαγίους πλευρὰς ἀνὰ ν' ὀργυιάς, ἀνὰ λ' δὲ τὰς ἐπὶ κεφαλῆς καὶ ποδός, ἐπερωτᾶσθαι οὖν τὰς ν' ταῖς λ' λέγουσι, καὶ ἐπεὶ ὁ τούτων πολυπλασιασμὸς ἀπογεννᾷ τὸν ἀριθμὸν χιλιοστὸν πεντακοσιοστόν, κατὰ τοῦτο καὶ τὸν ἀμπελῶνα μιᾶς καὶ ἡμίσεος χιλιάδος τυγχάνειν ὁρίζονται, καὶ πάντως γε δῆλον ὅτι πέντε μοδίους καίτοι τῇ χιλιάδι παραδιδόασιν, ὡς γὰρ ἐδείξαμεν ἄνωθεν, αἱ σ' ὀργυιαὶ μοδίζουσι γῆν μοδίου α', ἄρα γε πενταμοδιαία παρὰ τούτων εἶναι ἡ τῶν ὀργυιῶν χιλιὰς τεθεώρηται. λοιπὸν οὐδὲν τῶν ἐρωτηθέντων καταλέλειπται ἄλυτον. διὸ καὶ ἱκανὰ κρίνας εἶναι ταῦτα, τὰ περιττὰ τῶν ἐπὶ λόγοις κομψῶν ὡς μᾶλλον κενὰ καὶ εἰς οὐδὲν συμβαλλόμενα ἀποδίωξον.

2 τὸ ποσὸν[1]] τῶν ποσῶν C - 12 τούτους] ταῦτα C - 13 κἀκεῖνοι] κἀκεῖνος C - 16 σχοινία] σχοινίων C - ἀντιπερατοῦνται] ἀντιπερατόνται C - 21 τὰς[1]] τῶν C - 25 πέντε μοδίους] πενταμοδιαίαν C - 27 γῆν] γῆν καὶ εἰ C - α'] σ' C

**II. 23**

Περὶ πλινθίων τοῦ μέτρου αὐτῶν (sc. τῶν ἀμπελώνων).

Τὸ ῥαβδίον τὸ λεγόμενον πλινθομέτριον ἔχει σπιθαμὰς ϛ′ τέταρτον α′ ἢ καὶ σπιθαμὰς ζ′ ἢ καὶ η′ καὶ ἀνὰ τέταρτον α′ κατὰ τοῦ τόπου ἔθιμον.

κ′ | λ′ | λ′ | κ′

Ἔστι δὲ τὸ σχῆμα τοιοῦτον· ἡ κεφαλὴ ῥαβδία κ′, ὁ πούς κ′, τὰ δύο πλάγια ἀνὰ λ′, ἔασον τὰ ἡμίση ἐξ ἀμφοτέρων καὶ εἰπέ· κ′ λ′· χ′, καὶ ἔστι πλινθίου ἑνός. τὰ γὰρ ἑξακόσια ῥαβδία ποιοῦσι πλινθίον ἕν, τὰ τ′ ῥαβδία πλινθίου τὸ ἥμισυ καὶ τὰ ρν′ πλινθίου τὸ τέταρτον.

Τὸ πλινθίον μετρᾶται διὰ τεσσάρων ἤγουν κεφαλῆς, ποδὸς καὶ δύο πλαγίων καθὼς καὶ ἐπὶ τῆς σπορίμης γῆς. ἔστω δὲ τὸ σχοινίον δεκαόργυιον, ἡ δὲ ὀργυιὰ ἐχέτω σπιθαμὰς θ′ καὶ μόνας. εἴς τινας γὰρ τόπους οὐ χιλιάδας ἀλλὰ πλίνθους λέγουσι τὰ μέτρα τῶν ἀμπελίων. ἔστι δὲ τὸ πλινθίον περιμέτρου μοδίων γ′.

β′ | γ′ | πλινθίον | γ′ | β′

Ἔστω δὲ καὶ παράδειγμα· ἡ κεφαλὴ σχοινία β′, ὁ πούς σχοινία β′, τὰ δύο πλάγια ἀνὰ σχοινία γ′, ἔασον τὰ ἡμίση, ἐρώτησον β′ γ′· ϛ′, τὸ ἥμισυ τῶν ϛ′· γ′, καὶ ἔστιν ὁ τόπος μοδίων τριῶν ἤγουν πλινθίου α′ ἤτοι ὀργυιῶν <χ′>, τῷ μοδίῳ ὀργυιὰς σ′.

**II. 24**

Τῶν πλέθρων τὸ μέτρον.

Δέον μετρᾶν τὸν βλεπόμενον τόπον διὰ τεσσάρων. ἔστι εἰπεῖν, ὅτι ἔχει ἡ κεφαλὴ σωκάρια β′, ὁ δὲ πούς β′, ἅπερ

3 ῥαβδίον] ῥαδίον Υ - πλινθομ.] πλιθομέτριον Υ - 12 πλινθίον] πλιθίον Υ - 20 σχοινία] σχοινίον Υ - 24 τῶν ... μέτρον] D, περὶ πλέθρων L - 25-26 δέον ... ὅτι] D, om. L - 26 κεφαλὴ] D, κεφαλὴ καθ' ὑπόθεσιν L - σωκάρια] D, σχοινία omn. locis L - ὁ δὲ] D, καὶ ὁ L - β′²] D, σχοινία β′ L




ἑνούμενα γίνονται δ′ καὶ πάλιν κοπτόμενα μέσον γίνονται σωκάρια β′ ἀνὰ ὀργυιῶν ι′, ὁμοῦ ὀργυιαὶ κ′. τὰ δὲ δύο πλάγια ἀνὰ σωκαρίων γ′, ἅπερ ἑνούμενα γίνονται ϛ′ καὶ πάλιν κοπτόμενα μέσον γίνονται σωκάρια γ′ ἀνὰ ὀργυιῶν ι′, ὁμοῦ ὀργυιαὶ λ′, ὅθεν εὑρίσκεται τοῦ τοιούτου τόπου ἡ μὲν κεφαλὴ μετὰ τοῦ ποδὸς ἔχουσα σωκάρια δύο ἀνὰ ὀργυιῶν ι′, τὰ δὲ δύο πλάγια σωκάρια γ′ ἀνὰ ὀργυιῶν ι′. καὶ λέγε οὕτως· κ′ λ′· χ′, καὶ λέγεται τοῦτο πλέθρον καὶ ἔστιν ὀργυιῶν χ′. ἡ δὲ ὀργυιὰ ἔχει σπιθαμὰς θ′ δ″.

Εἰ δὲ ἔχει ἡ κεφαλὴ σωκάρια ι′, ὁ δὲ πούς η′, ἅπερ ἑνούμενα γίνονται σωκάρια ιη′ καὶ πάλιν κοπτόμενα γίνονται σωκάρια θ′ ἀνὰ ὀργυιῶν ι′, ὁμοῦ ὀργυιαὶ ϟ′. τὰ δὲ δύο πλάγια ἀνὰ σωκαρίων κ′, ἅπερ ἑνούμενα γίνονται μ′ καὶ πάλιν κοπτόμενα γίνονται σωκάρια κ′ ἀνὰ ὀργυιῶν δέκα, ὁμοῦ ὀργυιαὶ σ′. καὶ λέγε οὕτως· ϟ′ σ′· ͵α͵η, καὶ ζητεῖ ὁ τοιοῦτος τόπος πλέθρα λ′. +τὸ γὰρ ἑξακοσιοστὸν τούτων λέγε ἐν πάτῳ (?) δὲ τόπῳ ἐν ᾧ μετρεῖται πλινθίον+. τὸ αὐτὸ μέτρον εὑρίσκεται μηδεμίαν παρὰ χ′ ὀργυιῶν ἔχον τὸ σύνολον.

**II. 25**

a) Μέτρον κυλίσματος.




Ὁμοῦ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς καλάμι[α λ′], τῶν δύο πλαγίων καλάμια οδ′, καὶ ἐρώτησον λ′ [ο′]· ͵βρ′, λ′ δ′· ρκ′, καὶ ἔστι τὸ κύλισμα φυτῶν ͵βσ[κ′].

b) Ἐμετρήθη ἐν Ἡρακλείᾳ κύλισμα παρὰ ἐντοπίου μετρητῇ μετὰ σχοινίου ἔχοντος ῥαβδία ι′, τὸ ῥαβδίον σπιθαμὰς

1 μέσον] L, om. D - 2 σωκάρια] D, om. L - ἀνὰ ... κ′] D, ἤγουν ὀργυιὰς κ′ L - 3 ἅπερ ... καὶ] D, ἤγουν σχοινία ϛ′ ἅτινοι ἡ hic L desinit - 8 ἔστιν] ἔστι D - 16 ἑξ.] ἑξακοσο$^{\tau}$ν D - τούτων] τοὺ D - πάτῳ] ̣πα$^{\tau}$′ D - 17 πλινθίον] πινθ D - 24 ἐμετρήθη] ἐμετρήθησαν Υ

ς′ δ′′. καὶ εὑρέθη ἡ κεφαλὴ σχοινία ιβ′ c′′, ὁ πούς ι′ c′′, τὸ ἓν πλάγιον ιβ′ c′′ καὶ τὸ ἕτερον κ′ c′′, καὶ κατελογίσθη ἡ κεφαλὴ καὶ ὁ πούς ἀνὰ σχοινίων <ι>α′c′′ καὶ τὰ πλάγια ἀνὰ σχοινίων ις′ c′′. εἴασεν οὖν τὰ τοῦ ποδὸς καὶ τὰ <ἡμίση> τῶν πλαγίων καὶ κατελογίσατο τὰ τῆς κεφαλῆς ια′ c′′ σχοινία ἀνὰ φυτῶν <ι′· ὁμοῦ φυτῶν ριε′, καὶ τὰ τῶν πλαγίων ις′ c′′ σχοινία ἀνὰ φυτῶν ι′· ὁμοῦ φυτῶν> ρξε′, καὶ ἀπεσώθησαν χιλιάδες ιη′ φυτὰ ⅄οε′.

c) Παράδειγμα ἀπὸ πράξεως.

Ἐμετρήθη ἀμπέλιον κατὰ τριπλασιασμόν, εἶχεν ἡ κεφαλὴ καλάμια ργ′ c′′ δ′′, ὁ πούς ργ′ c′′ δ′′, ὁμοῦ ἀμφότερα σζ′ c′′, προσετέθη καὶ ἕτερα ργ′ c′′ δ′′, ὁμοῦ καλάμια τια′ c′′ δ′′, τὰ δύο πλάγια ἀνὰ τ′, προσετέθησαν καὶ ἕτερα τ′ καὶ ἐγένοντο ⅄′, καὶ ἠρωτήθησαν τὰ τια′ c′′ [δ′′] μετὰ τῶν ⅄′ οὕτως· <τ′> ⅄′· β̄ζ̈, ι′ ⅄′· ,θ, ⅄′ α′· ⅄′, τὸ ἥμισυ τῶν ⅄′· υν′, τὸ τέταρτον τῶν ⅄′· σκε′, καὶ ἔστιν ἀμπέλιον χιλιάδων σπ′ καὶ φυτῶν φοε′.

**II. 26**

Τοῦ σοφωτάτου Ψελλοῦ γεωμετρία διὰ στίχων.

Μαθεῖν εἰ βούλει ἄριστα μέτρον τῶν χωραφίων,
ὀργυίας πρῶτον νόησον, εἶτα καὶ τῶν σχοινίων
τοῦ μέτρου τὴν ἀκρίβειαν, πρὸς δὲ καὶ γνωρισμάτων.
εἰ δέ γε πάλιν διαγνῷς καὶ σχήματα τὰ τούτων,
ἔσῃ γεωμέτρης ἄριστος σφάλλων οὐδὲν ἐν μέτρῳ,
καὶ δὴ προσεκτικώτερον ἄκουσον καὶ μαθήσῃ.

Ἐννέα σπιθαμὰς ἔχει τὸ τῆς ὀργυίας μέτρον
σὺν παλαιστῇ, τῆς σπιθαμῆς τὸ τῆς ἑτέρας τρίτον,
ὀκτὼ δὲ πρὸς τοῖς εἴκοσι αἱ παλαισταὶ προβάντες

4 τὰ[1]] ται Υ - 7 ρξε′] ,αχν′ Υ - ἀπεσώθησαν] ἐποσώθησαν Υ - 16 σπ′] λζ′ Υ



σὺν τούτοις δὲ καὶ κόνδυλον ἤτοι τὸν ἀντιχεῖρα
ἀποτελοῦσιν ἀκριβῶς τὸ τῆς ὀργυίας μέτρον,
δι᾿ ὧν τὴν σχοῖνον ἐκμετρῶν οὐκ ἀστοχήσῃ μέτρον,
ὅπερ καὶ δεκαόργυιον ἐξακριβῶσαι δέον.
πολλοὶ δὲ καὶ τὰς δώδεκα μηκύνουσιν ὀργυίας
ἀρχῆθεν τοῦτο διδαχθὲν ἐξ ἀφθονίας τούτοις,
καὶ τάχα τὸ πολύμετρον τῶν δυτικῶν κτημάτων
τὸ ἀκριβὲς ἐφεύρηκεν ἐπὶ ταῖς δέκα μόναις
λήθην ὡς δῆθεν εἰληφὼς ἀρχαίων διδαγμάτων
ὁμοῦ δοκοῦντος μάλιστα μετρῶν ἀπαρασφάλτως
τὸν τῷ ἀρχαίῳ χρώμενον γεωμετρίας μέτρον.

Ἔστω δ᾿ ὡς ἡ συνήθεια παρέλαβε τῶν νέων,
καὶ δὴ μετρῶν ἀρξάμενος πρὸς τοὺς ἀέρας σκόπει,
καὶ γράφε τὰ γνωρίσματα πάμπαν ἠκριβωμένως
ἀρχὴν καὶ λῆξιν ἐκδηλῶν καὶ πρὸς ἀέρα κάμψιν·
ὡς τὸ χωράφιον τόδε τοῦ δεῖνα τοῦ προσώπου
ἀρχὴν λαβὸν ἀνατολῆς ἀπέρχεται πρὸς δύσιν,
πρὸς μεσημβρίαν κλίνει δὲ ἄχρι τοῦ δεῖνα τόπου
καὶ πάλιν εἰς ἀνατολὰς εἰς γνώρισμα τοιόνδε,
πρὸς ἄρκτον αὖθις ἀνακλᾷ, ἄπεισι κατ᾿ εὐθεῖαν
καταλαμβάνει γνώρισμα, ὅθεν ἀρχὴν εἰλήφει,
ἔνθα καὶ δένδρον ἵσταται εἰς γνώρισμα τοιόνδε.


ε′
ε′ τετρά-γωνον ε′
ε′

Ἰδοὺ καὶ τέσσαρες πλευραὶ ἰσομετροῦσιν ἄμφω
σχοινίων τὸ μέτρον ἔχουσαι κατ᾿ ἄμφω ἀνὰ πέντε,
ὅπερ ἐστὶ τετράγωνον τὸ σχῆμα γεωμέτραις.
τὰ πέντε γνῶθι κεφαλήν, τὰ πέντε πόδας πάλιν,
τὰ δ᾿ ἀνὰ πέντε πλάγια. τὸν πόδα ἐκδιώκων
καὶ τῶν πλαγίων θάτερα, ἐρώτα συμψηφίζων
τὰ δὲ περιλειφθέντα σοι, πρὸς τὴν ὁμάδα πόσου,
ἥμισυ ταύτης δίωκε καὶ τὸ ποσὸν εὑρήσεις·
πεντάκι πέντε γίνονται καὶ γὰρ εἰκοσιπέντε,
ἥμισυ τούτων μοδισμὸν δηλοῖ τοῦ μετρουμένου,


4 ὅπερ] τάπερ A

δώδεκα γὰρ καὶ ἥμισύ ἐστι μοδίων τοῦτο.


Σχῆμα δ' εὑρίσκων ἕτερον ἔχον τὸ μέτρον οὕτως·
μίαν σχοῖνον πρὸς κεφαλὴν καὶ πέντε πρὸς τὸν πόδα,
κατ' ἄμφω δὲ τὰ πλάγια τὰς ἀνὰ δέκα σχοίνους,
τὰς τοῦ ποδὸς τῇ κεφαλῇ συμμείγνυέ μοι σχοίνους,
τὰς τρεῖς δὲ κράτει κεφαλήν, τὰς τρεῖς ἐκδίωκέ μοι,
πρὸς ἓν δὲ ταύτης ἐρωτῶν ἀμφοῖν ἐκ τῶν πλαγίων
εὑρήσεις τὸ χωράφιον μοδίων δεκαπέντε.





Τρίγωνον δ' αὖθις εὑρηκὼς χωράφιον ἢ τόπον
ἔχον τὰς σχοίνους ἀνὰ τρεῖς ἐν ταῖς πλευραῖς κατ' ἄμφω.
ἐννέα ταύτας ψήφιζε, καὶ τούτων τὰ ἡμίση
ἐκ τοῦ ποδὸς ἐκδίωξε καὶ τοῦ ἑνὸς πλαγίου,
ἡμίση δ' αὖθις μέσαζε πρὸς κεφαλὴν καὶ πλάγια,
κἂν εὕροις μέτρον μοδισμοῦ ἡμίσεος καὶ δύο.




Εἰ δὲ στενὸν ἐπίμηκες χωράφιον εὑρήσεις
ἔχον σχοινία κεφαλὴν καὶ πόδας ἀνὰ δύο,
εἰσὶ δ' ἐπ' ἄμφω ταῖς πλευραῖς ἀνὰ σχοινίων δέκα,
δὶς δέκα μέτρα ψήφιζε, καὶ τοῦτο δέκα εὕρεις
οὐκ ἔλαττον τὸ σύνολον τυγχάνον τῶν μοδίων.




Στρογγύλον δ' αὖθις εὑρηκὼς ἅλωνα σχηματίζον
ἀρχὴν καὶ τέλος ἐκμετρῶν πρὸς ἕνα ποιοῦ τόπον·
γῦρον δ' εὑρίσκων ἔχοντα σχοινία δεκαέξι
ἥμισυ τούτων δίωκε, ἥμισυ δ' ὑποκράτει,
ἥμισυ δ' αὖθις ἐκμετρῶν πρὸς κεφαλὴν καὶ πλάτος
εὑρήσεις τὸ χωράφιον ὀκτὼ μοδίων εἶναι.




Εὑρίσκων δὲ χωράφιον ὡς ὑπογαμματίζον
ἐκτέμνων τὸ γαμμάτιον εἰς δύο μέτρα τοῦτο,
λαβὼν δὲ τὴν διάγνωσιν τῶν δύο τεμαχίων

22 δεκαέξι] δεκαὲξ A - 28 λαβὼν] λαμβὼν A




εἰς ἓν ἀρίθμει τὸ ποσὸν ὅλα τοῦ γαμματίου,
ὡς τὰ λοιπὰ ἐρώτησον σφάλλων οὐδὲν ἐν μέτρῳ.




Εὑρὼν δ' αὖθις χωράφιον ἐν σχήματι τοιῷδε
ἔχον σχοινία κεφαλὴν τέσσαρα σὺν ἡμίσει,
πρὸς πόδας δ' αὖθις δώδεκα καὶ ἥμισυ σχοινίου,
τὴν κεφαλὴν ὀγδοήκοντα σὺν πέντε ταῖς ὀργυίαις,
ἂν εἴκοσιν εἰς πλάγια σὺν τέσσαρσιν ὀργυίαις
δυὰς δὲ καὶ τὸ πλάγιον σὺν τέσσαρσιν ὀργυίαις,
εὑρήσεις ὀγδοήκοντα μοδίων τὸ τοιοῦτον
σὺν ἓξ τε δὲ καὶ ἥμισυ λιτρῶν ὀκτὼ καὶ οὐ πλεῖον.

Εἰ δέ γε εὕρῃς σκαληνὸν χωράφιον ἢ τόπον,
ἐν ᾧ καὶ καγκελλίζουσιν ὑδάτων αἱ γλυφίδες,
μὴ ἀπορήσῃς παντελῶς τὸ μέτρον καταλεῖψαι,
ἀλλ' ὡς γεωμέτρης ἄριστος πρὸς ἀμφότερα σκόπει,
ἑκάστου τούτων δ' ἐκμετρῶν καὶ τὸ ποσὸν γνωρίσας
εὑρήσεις τὴν ποσότητα ὅλου τοῦ περιμέτρου.

Τύμβον δ' εὑρὼν ἐπίμαχον καὶ θέλων τούτου μέτρον
κατανοῆσαι καὶ εὑρεῖν, γνωρίσαι δὲ τοῖς πᾶσιν,
ἐκμέτρου τοῦτον γύρωθεν καὶ σχοινισμὸν ἀρίθμει,
εἶτα τὸν τροῦλλον σταύρωσον σχοινίῳ τῷ τῆς < >,
καὶ γνῷς καὶ τὸ περίμετρον ὁπόσον τὸ τοῦ τύμβου.




Μικρὸν δ' εὑρὼν χωράφιον πάμπα ἐστενωμένον
ὀργυίαν ἔχον κεφαλὴν καὶ πόδαν τρεῖς ὀργυίας,
κατ' ἄμφω δὲ τὰ πλάγια τῆς ἀνὰ δέκα σχοίνους,
ἑκατὸν δὲ τὸ πλάγιον, καὶ οὕτως ἐρωτήσεις·
δὶς γὰρ ἑκατὸν διακόσια τὸ μέτρον τοῦ μοδίου —
ὀργυίαι γὰρ διακόσιαι τὸ μέτρον τοῦ μοδίου

24 σχοίνους] σχοίνους δύο A - 26 διακόσια] δικόσια A

λίτρας ἐχούσης ἑκάστης ὀργυίας δὲ καὶ πέντε,
λιτρῶν γὰρ τεσσαράκοντα τὸ μόδιον τυγχάνει,
ἥμισυ τούτων εἴκοσι, τέταρτον λέγε δέκα,
τὸ δ' ὄγδοον πεντάλιτρον ὑπάρχει τοῦ μοδίου.

Σταυρὸν δ' εὑρὼν χωράφιον ἔκτεμνε τοῦτο πάλιν,
καὶ τὰ τεμάχια μετρῶν τὰ τρία κατ' ἰδίαν
εὑρήσεις τὸ περίμετρον τοῦ σταυροτύπου τόπου.
ἀλλὰ καὶ ἡμισταύριον ὡς σχηματίζον τόπον
ὑποτεμνέσθω καὶ αὐτὸ καὶ οὕτως ἐκμετράσθω.

'Επεὶ δ' ἐκ μέτρου ἔμαθες τῶν ὀργυιῶν τὰς λίτρας
καὶ τούτων αὖθις μοδισμὸν ποσότητα τοῦ τόπου,
μάθε καὶ τὸ περίμετρον κτήματος ὁλοκλήρου.
ἀπάρξου, γράφε καθεξῆς τὰ σύνορα τοιῶσδε·
ἀρχὴν λαβὼν ἀνατολῆς ἄπεισιν ὡς πρὸς δύσιν
καταλιμπάνων δεξιὰ τὰ δίκαια τοῦ δεῖνα,
ἐν οἷς καὶ δένδρον ἵσταται ἐλαία ἢ μυρσίνη,
ἔλατος ἢ πλάτανος ἢ ποταμὸς ἢ ῥύαξ,
ἄχρι δὲ τούτου εὕρηνται σχοινία δεκαπέντε.
κλίνει δὲ αὖθις, ἀνέρχεται ὡς πρὸς τὴν μεσημβρίαν
καταλιμπάνων δεξιὰ χωράφια τοῦ δεῖνα,
καὶ κατ' εὐθεῖαν ἄπεισιν ἄχρι τοῦ τοῦδε τόπου,
ἐν ᾧ λαυρᾶτον ἵσταται λίθινον κεχωσμένον
ἔχον σταυρὸν ἢ γράμματα ἢ γνώρισμα τοιόνδε,
ἐν ᾧ καὶ τέλος εἴληφε τὰ ἑκατὸν σχοινία.
στρέφεται πρὸς ἀνατολάς, κρατεῖ τὸν δρόμον δρόμον,
τὸν δρόμον τὸν ἐρχόμενον ἀπὸ τοῦ δεῖνα κάστρου,
καταλιμπάνει δεξιὰ τὰ δίκαια τοῦ δεῖνα
καὶ τοὺς κατ' ὄρδινον ἐκεῖ πεφυτευμένους δρύας,
ἐν οἷς καὶ τύπος εὕρηται σχηματισθεὶς εἰς ὥραν
ἄνωθεν τούτου δὲ σταυρὸς εἰς γνώρισμα τοῖς πᾶσι,
καὶ κατ' εὐθεῖαν ἀπιὼν ἄχρι τοῦ δεῖνα τόπου
ἀποτελεῖ ποσότητα διακοσίων σχοίνων.

---

1 δὲ καὶ πέντε] δεκαπέντε A - 2 τεσσαράκοντα] τεσσαράκον A - 7 τόπου] τύπου A - 10 δ' ἐκ] δὲ ἐκ A - 20 καταλιμπάνων] καταλιπάνων A - 21 ἄπεισιν] ἄπασιν A - τοῦδε] τοῦ τεῖδε A



εἶτ' ἀνατολικώτερον ἄπεισι πρὸς ὀλίγον,
καὶ καταντᾷ εἰς ἀγκάλισμα τοῦ ποταμοῦ τοῦ δεῖνα,
ἐν ᾧ καὶ μέτρον εὕρηται σχοινίων δεκαπέντε.
πρὸς ἄρκτον αὖθις ἀνακλᾷ, ἄπεισι κατ' εὐθεῖαν,
καταλιμπάνει δεξιὰ ἀμπέλιον τοῦ δεῖνα,
καὶ καταντᾷ εἰς σύνορα τοῦ δεῖνα χωραφίου,
ἐν ᾧ χωματοβούνιον παμπαλαιὸν εὑρέθη,
ὅπερ ἀνακαινίζειν δεῖ εἰς γνώρισμα τοῦ τόπου,
εἰς ἀληθείας δήλωσιν, εἰς ἄμαχον γειτόνων,
σχοῖνοι κἂν τούτῳ εὕρηνται τριάκοντα καὶ πέντε.
εἶτ' αὖθις πρὸς ἀνατολὰς ἄπεισιν ἀκουμβίζων
εἰς σύνορον καὶ δίκαια τοῦ κτήματος τοῦ δεῖνα,
ἐν ᾧ καὶ πέτρα εὕρηται μεγάλη ῥιζιμαῖα,
μέτρον δ' ἐν τούτοις εὕρηνται σχοινία εἰκοσιπέντε.
πρὸς ἄρκτον αὖθις ἄπεισι τὸν δρόμον τοῦ χωρίου
τὸν κατερχόμενον εὐθὺ πρὸς τὴν ἀκτὴν θαλάσσης,
καταλαμβάνει σύνορον ὅθεν ἀρχὴν εἰλήφει,
ἐν ᾧ καὶ πάλιν εὕρηνται σχοινία δεκαπέντε.
ταῦτα τὰ μέτρα ἅπαντα τοῦ <δὲ> γυρομετρίου
ἑκατοντάδες τέσσαρες σὺν πέντε τοῖς σχοινίοις,
ἐξ ὧν ἀποδεκάτωσις αἱ τέσσαρες δεκάδες
καὶ τὸ τοῦ σχοίνου ἥμισυ ὅλον τοῦ περιμέτρου.
λοιπὸν οὖν τριακόσια ἑξήκοντα τυγχάνει
καὶ τέσσαρα καὶ ἥμισυ ἡ ἀκριβὴς ποσότης,
ἥμισυ τούτων δ' ἑκατὸν ὀγδοήκοντα δύο
πρὸς τούτων δὲ καὶ τέταρτον εἰς ἀριθμὸν τυγχάνον,
ἅτινα κατὰ κεφαλὴν καὶ πλάγια ἐκτέμνων
εὑρήσεις τούτων ἀριθμὸν τεσσάρων χιλιάδων
καὶ ἑκατὸν πεντήκοντα σὺν τῷ ἑνὶ μοδίῳ
καὶ δεκαπέντε δὲ λιτρῶν τέταρτον καὶ οὐ πλείω.

'Ερμηνεία περὶ τῶν πλέθρων.

Οἶδας, διέγνως, ἔμαθες τοῦ μοδισμοῦ τὸ μέτρον,
καὶ πλέθρα ἐκδιδάχθητι πρὸς δὲ καὶ χιλιάδας,
ὅπως μὴ σφάλῃς οὐδαμῶς ἐν ἅπασι τοῖς μέτροις.

---

13 εὕρηται] εὕρηνται A - 20 τέσσαρες] τέσσαρις A

πλινθίον, πλέθρα λέγεται καὶ χιλιὰς ὡσαύτως
ἑκάστῳ δ' αὖ γε θέματι διαφορὰ τοῦ μέτρου,
οὐ μὴν ἐν τῇ σπορίμῳ γῇ, ἀλλ' ἔν γε ἀμπελῶσιν.
καὶ ἑκάστη χιλιὰς τοῦ ἀμπελίου τόπου
μοδίων πέντε τόπον γὰρ κατέχει ἐν τῇ δύσει,
ἐν δέ γε τῇ ἀνατολῇ ποτὲ μὲν τοῦ μοδίου,
ποτὲ δὲ τὸ πεντάλιτρον καλοῦσι χιλιάδα,
καὶ μάλιστα οἱ ἔποικοι θέματος Ὀπτιμάτων.
σὺ δ' αὖθις τὴν συνήθειαν κράτει τῶν ἐγχωρίων
καὶ ἀκριβῶς ἐξερευνῶν καὶ πόλεσι καὶ χώραις,
ὡς εὕρεις τὴν συνήθειαν, κέχρησο καὶ τῷ μέτρῳ,
καὶ παρασφάλεις οὐδαμῶς, οὐδὲ σκοποῦ ἐκπέσεις.

Περὶ λιβαδιαίων τόπων.

Εἰ δέ γε θέλεις ἐκμετρᾶν τόπον λιβαδιαῖον
καὶ εὕρεις μῆκος ἔχειν τε σχοινία δεκαπέντε,
τὸ δ' αὖ γε πλάτος εἴκοσι τοῖς μέρεσιν ἐπ' ἄμφω,
μὴ πλανηθῇς ὡς ἔμαθες ἥμισυ καταλεῖψαι,
ἀλλ' εἰκοσάει ψήφιζε τὰ δέκα σὺν τοῖς πέντε,
τοῦτον δ' εὑρήσεις, γίνωσκε, μοδίων τριακοσίων.
οὐ γὰρ τὸ τούτων ἥμισυ ὀφείλεις καταλεῖψαι,
ὡς ἄνωθεν δεδίδαξαι κρατεῖν καταλιμπάνειν,
ἀλλ' ἔστω ἀπαράθραυστον τὸ μέτρον τῆς ὁμάδος.

Ἑρμηνεία περὶ θαλαττίου μέτρου.

Θαλάσσης δ' αὖ γε δίκαιον μετρᾶν εἰ βούλει πάλιν,
μὴ σχοίνῳ τὴν ἐκμέτρησιν εἰς πέλαγος ποιήσῃς,
βραχεῖσα γὰρ τοῖς ὕδασιν ὑπάρχει βαρυτάτη,
καὶ πρὸς βυθὸν ἐπιρρεπὴς καὶ κατ' ὀρθὸν οὐδόλως
ποιήσεις μέτρον ὁποσοῦν καὶ τὸν σκοπὸν ἐκπέσεις.
τὰ δέ γε χόρτα συνδεσμῶν, ἃ λέγονται καὶ βροῦλα,
ἔκτεινε ταῦτα ἐκμακρῶν θαλάττης τοῦ πελάγου
κατά γε τὴν ἰσότητα ἴσως ἀκρωτηρίου
ἢ νησιδίου τὸ τυχὸν ἢ κάστρου, καστελλίου.
ὕστερον δ' αὖθις ἐκβαλὼν τῇ γῇ τε ἐφελκύσας
καὶ τούτων τὴν ποσότητα τῇ σχοίνῳ ἐκμετρήσας

29 χόρτα συνδεσμῶν] χόρτασι δεσμῶν A



ὅσων δεσπότης τοιγαροῦν τῶν ὀργυιῶν τυγχάνει
ἢ μονὴ ἢ μετόχιον, πρόσωπον ἢ χωρίον,
καὶ οὕτω λύσεις ταραχὴν καὶ μάχην γειτονούντων.

Ἑρμηνεία περὶ ὀρεινῶν καὶ δυσβάτων καὶ τραχεινῶν.

Ἐπεὶ δὲ ἔγνως ἀκριβῶς γνωρίσματα σχημάτων,
ἔτι τούτων <τοὺς> ἀριθμοὺς καὶ μέτρα κατ' ἀξίαν,
μάθε καὶ ὅσον ηὔξηται τὸ μέτρον τοῦ μοδίου·
πολλοὶ γὰρ τὸ περίμετρον ποιοῦντες τοῦ χωρίου
ὡς ἄνωθεν προείπομεν δέκα ὀργυίων σχοίνῳ,
φιλοτιμούμενοί τισι τοῖς δώδεκα μετροῦσι,
καὶ μοδισμὸν ἐλάττονα τοῦ ὄντος ἐκτελοῦσι,
καὶ τοῦτο πάντες πράττουσιν οὐχὶ ἀσυλλογίστως,
ἀλλ' ἀφορμήν τε θέμενοι τὸ ὀρεινὸν τοῦ τόπου
ἢ τραχεινὸν ἢ δύσβατον ἢ καὶ νομαδιαῖον,
ὑστέρων μετρησάντων δὲ δέκα ὀργυίων σχοίνῳ
πλείω πάντως εὑρίσκεται τοῦ μετρηθέντος τόπου.
εἰ δέ γε μᾶλλον καὶ ψευδὴς ἡ προγραφὴ φανείη,
τὸ ὀρεινὸν ἢ δύσβατον ἢ τραχεινὸν τυγχάνει,
ἐκ τούτων πάντων εὕρηται ὁ κεκρυμένος τόπος.

Πολλοὶ δὲ μέτρῳ χρώμενοι εὐθεῖ γεωμετρίας
ἀποσυλοῦντες σχοινισμὸν ἐκ δόλου τῶν μετρούντων,
προσεκτικώτερον καὶ γὰρ τοῦ γεωμέτρου σχόντος
πρὸς σύνορα, γνωρίσματα καὶ τῶν λαυράτων θέσεις.
οἱ ἐμπονοῦντες τὸ ποσὸν τῶν μετρουμένων σχοίνων
ἀποσυλοῦσι σχοινισμὸν ἀμφοῖν ἐκ τῶν ἀέρων,
τετράδεκα συλήσαντες ἐκ τῶν σχοινομετρίων
ἀποτελοῦσι κλήματος τόπον ἐξ ὁλοκλήρου,
καὶ δὴ προσέχων ἄκουε καὶ τ' ἀληθὲς εὑρήσεις.
ὑπόθου ὡς ἐμέτρησας τὸν γῦρον τοῦ χωρίου
καὶ εὗρε τοῦτον ἔχοντα σχοίνους ἑξακοσίους,
ἥμισυ τούτων δίωκε, ἥμισυ δ' ὑποκράτει,
ὀφείλεις ἐρωτῆσαι δὲ εἰς τὰ τέταρτα ταῦτα,
εἶτα πολυπλασίασον ταῦτα ἐπ' ἀμφοτέροις,

7 τὸ] τὸν A - 9 ὀργυίων] ὀργυίας A - 15 ὑστέρων] ἀστέρων A - 32 ταῦτα] τὸ βῆτα A

καὶ ἀποτελοῦσι μοδισμὸν μοδίων δισχιλίων
ὀκτακοσίων δώδεκα καὶ ἥμισυ μοδίων.
εἰ δὲ προσθήσεις ἐπ' αὐτοῖς σαράκοντα κλαπέντων,
ἥμισυ τούτων δίωκε, ἥμισυ δ' ὑποκράτει,
ὁμοίως οὖν ἐρώτησον εἰς τὰ τέταρτα ταῦτα,
εἶτα πολυπλασίασον καὶ αὐτὰ ὡς ὁμοίως,
εὕρεις ἐν τῷ δὲ σχοινισμῷ μοδίων τρισχιλίων
διακοσίων ἐκ παντὸς ὅλον ἀποτελοῦντα,
καὶ γνῷς ἐκ τούτου τὸ ποσὸν τῆς γῆς ἀποκρυβήσης
τριακοσίων ὀγδοήκοντα ἑπτὰ ἥμισυ ὑπάρχει,
τυγχάνουσιν ἀμφότερα μόδιοι οἱ κλαπέντες.

Πολλῶν δὲ σχοίνων τὸ ποσὸν κλέψαι μὴ δυνηθέντες
ὡς τοῦ μετροῦντος ἄριστα προσέχοντος τὸ μέτρον
ὑπερπηδῶσι κλέπτοντες σφραγίσας τὰς τῶν πάλων,
κἀκ τούτου κλέπτονται μέτρα, γνῶθι, τοῦ μετρημένου,
καὶ θαῦμα γίνεται πολλοῖς ὡς ἄξιον θαυμάτων,
πῶς δὴ τὸ ἅπαξ μετρηθὲν εὑρέθη αὖθις πλέον.

Πολλοὶ δὲ πάλοις ἐκμακροῖς τὴν σχοῖνον ἐκμετροῦντες,
ἐν ᾗ τὰ μέτρα πράττουσι τὰ τῆς γεωμετρίας,
ἐν τούτοις δολιεύονται μετὰ τοῦ μετρημένου
χεῖρα ἐχόντων τῆς κλοπῆς πάντως καὶ τῶν μετρούντων,
τοῦ γὰρ κρατοῦντος ἔμπροσθεν προκύπτοντες τὸν πᾶλον
καὶ τοῦ ὀπίσω κλίνοντος ὡς ἐξακολουθοῦντος,
ζημία γίνεται πολλὴ ἐφ' ἑκάστῳ σχοινίῳ,
κἀκ τούτου μέτρα ηὔξηνται τὰ τοῦ διπλομετροῦντος.

Τινὲς δ' ὀργυίας πλείονας τῶν σχοίνων εὑρηκότες
ὅσ' ἐξ ἀέρος μέλλουσιν ἐκκλῖναι εἰς ἀέρα,
ταύτας ἀποδιώκουσιν ὡς δύσκολον τὸ μέτρον
ἔχοντες πάντως ἐν αὐτοῖς καὶ πάμπαν ἀποκνοῦντες
τῶν σχοίνων τὴν ποσότητα ἐκκόψαι εἰς ὀργυίας,
τῶν ἐρωτώντων σχοινισμὸν τὴν ἅπασαν ὁμάδα
εὑρήσεις τὸ περίμετρον τῶν κεκρυμένων τόπων.

Καὶ δὴ σὺ τούτοις πρόσεχε καὶ χρῶ δικαίῳ μέτρῳ,

3 κλαπέντων] κλαπέντως A



καὶ ὅτε μέλλεις ἄρχεσθαι τῶν μέτρων τῶν τοπίων,
ἑτοίμασον τὴν σχοῖνόν σου καὶ δέσμωσον τοῖς πάλοις,
τὸ περιττεῦον βούλωσον ἐν ἀσφαλεῖ προσέχων,
ὡς ἂν μὴ τὸ περίττευμα προσθήσωσι τῷ μέτρῳ
καὶ εἰς μακρὸν ἐκτείναντες ἐκκλέψωσι τὸν τόπον,
κἀκ τούτου σφάλεις τοῦ σκοποῦ καὶ πέσεις καὶ τοῦ μέτρου.
οἱ πᾶλοι δ' ἔστωσαν κονδοὶ ἐσχάτως δεδεμένοι,
τῷ μὲν προτίστῳ ἔστω σοι ἀκολουθῶν τζαπόντης,
καὶ σφράγιζε τὸ πλήρωμα καὶ πῆγμα τὸ τοῦ πάλου.
ἔστω δ' αὐτῷ συνοπαδὸς πιστότατός σοι πάνυ
παρατηρῶν τὸν σφραγισμόν, ὑπερπηδήσας μήπως
ὁ σφραγιστὴς προσάξῃ σοι ζημίαν ἐν τῷ μέτρῳ·
τῷ δ' αὖ ἑτέρῳ ἕπου σὺ καὶ πρόσεχε μὴ οὕτως
ὑπερπηδῶν σφραγίσματος τὸ μέτρον ἀποκλέψῃ.
ἕτερος δ' ἔστω ὀπαδὸς ὁ τὴν ὀργυίαν φέρων,
μεθ' ἧς ὀφείλεις ἐκμετρᾶν τὰ περιττὰ τῆς σχοίνου
τὰ μὴ ποσοῦντα ἱκανοῦν ἐξ ὁλοκλήρου σχοῖνον,
ἅπερ εὑρίσκονται τυχὸν πολλάκις ἐν τῷ μέτρῳ.
ἐν ταῖς ἀέρων κάμψεσιν γνωρίσματα λαυράτων
ἔστω καὶ χαρακάρια τὰς σχοίνους ἐκχαράσσων,
ἵνα μὴ ταύτας κλέψωσιν οἱ μέτρα ἐκφωνοῦντες.
ἔστω δὲ σχοῖνος ἔχουσα ὀργυίας δέκα μόνας,
τὰς δέ γε περιττευούσας ὀργυίας ἐν τῇ σχοίνῳ
ἀρίθμει, μέτρα, ψήφιζε ἐν τῷ ποσῷ τῶν σχοίνων,
καὶ ἐρωτῶν ὡς ἔμαθες ὀργυίας πρὸς ὀργυίας
εὑρήσεις τὸ περίμετρον τοῦ μετρουμένου τόπου,
καὶ οὕτω τύχεις τοῦ σκοποῦ, καὶ οὐκ ἀστοχήσεις μέτρον.
τέλος.

23 περιττεύουσας] περιττεύοντας A

**II 27.**

Περὶ λισγεύματος ὅπως ψηφίζεται εἰς τὸν ἀπολογαριασμὸν τῶν ἐργατῶν.

Μετρᾶται τὸ λίσγευμα μετὰ ὀργυιᾶς ἐχούσης σπιθαμὰς θ′ δ′′ οὕτως· τριλίσγιον ὀργυιαὶ ͵βϟε′, μονολίσγιον ὀργυιαὶ ͵αψ′, ὁμοῦ μονολίσγιον ἀμφότερα ͵εωϟ′, καὶ ὅρα ὅτι ψηφίζεται τὸ τριλίσγιον ἡ ὀργυιὰ γ′ διὰ τὸ λίσγευμα. καὶ πάλιν εἰς τὸ τραφοκόπημα τῶν λιβαδίων οὕτως· οἷον ὁ τράφος ἔχει πλάτος ὀργυιὰν α′, βάθος λισγάρια δ′, μῆκος ὀργυιὰς ͵αυξς′. τὸ μὲν πλάτος ἔα, τὸ δὲ βάθος ψήφιζε ὡς πρὸς τὸ μῆκος, καὶ ἐπεὶ εἰς τὸ βάθος τέσσαρα λισγάρια, τετραπλασίασον τὸ μῆκος, οἷον· ͵α δ′· ͵δ, δ′ υ′· ͵αχ′, δ′ ξ′· σμ′, δ′ ς′· κδ′, ὁμοῦ λισγάρια μονολίσγιον ὀργυιὰς ͵εωξδ′. τοῦτο ἐπὶ τῶν ἐργατῶν, εἰ δὲ κάμνεται ἡμερομίσθιον ἢ εἰς ἀποκοπὴν ἀργεῖ ὁ τοιοῦτος ψῆφος.

## *III. Texte vorwiegend über Hohlmasse*

**III. 1**

Εἴδησις τῶν ἐξάμων τοῦ τε θαλασσίου μοδίου, τοῦ ἐλαϊκοῦ μέτρου, τοῦ οἰνηγοῦ, τοῦ σουαλίου καμπανοῦ καὶ τοῦ θαλασσίου, τῆς ῥήγλας καὶ τοῦ ἐξάμου τῶν πλοίων, πῶς ὀφείλουσιν ἐξαμώνεσθαι καὶ δηλοποιεῖσθαι αἱ τούτων χωρήσεις.

5 τριλίσγιον] τρισλίγιον Υ - 9 ὀργυιὰν] ὀργυιὰς Υ - 9 δ′] δύο Υ - 15 ὁ τοιοῦτος] ὁ τοιοῦτως corr. ex ὅτι οὕτως Υ - 18 οἰνηγοῦ] οἰνογοῦ W




Ὁ θαλάσσιος μόδης ὀφείλει χωρεῖν σίτου καθαροῦ καὶ ἀρρύπου λίτρας μ′ ἢ φούκτας κς′,
ἡ γὰρ φούκτα ἡ κούμουλος ἡ λεγομένη ἀντλητὴ ἵστησι λίτρας α′ c′′.
ἡ ῥῆγλα ὀφείλει εἶναι στρογγύλη χειρωμένη καὶ πύξινος.
τοῦ θαλασσίου καμπανοῦ ἑκατὸν λίτραι ἱστῶσι μετὰ τοῦ σουαλίου καμπανοῦ λίτρας ρκε′, καὶ γὰρ κε′ λίτρας ἀναδέρει ὁ θαλάσσιος πρὸς τὸν σουάλιον.
ὁ καμπανὸς τῆς πήσης τοῦ καυσίμου ξύλου ὀφείλει ἔχειν σταθμὸν λίτρας φ′ μετὰ τοῦ σουαλίου καμπανοῦ.
ἡ λογαρικὴ λίτρα ἔχει ἐξάγια οβ′, οὐγγίας ιβ′,
ἡ οὐγγία ἐξάγια ς′.
τὸ θαλάσσιον οἰνηγὸν μέτρον ὀφείλει εἶναι χωρήσεως οἴνου λιτρῶν λ′ ἤγουν μινῶν ι′,
τῆς μίνας ἱστώσης λιτρῶν γ′,
τὸ δὲ ἐλαϊκὸν μέτρον λιτρῶν λβ′ μετὰ τοῦ σουαλίου +καὶ ἀμφοτέρου+ καμπανοῦ,
πλὴν μετὰ ῥουσίου ἀδόλου καὶ ἀμφότερα οἴνου ὀφείλουσιν ἐξαμώνεσθαι ἱστῶντος λίτρας λ′ καὶ λβ′, ὡς εἴρηται, διὰ τὸ εἶναι τὸν τοιοῦτον οἶνον βαρύτερον τοῦ ἄσπρου οἴνου. καὶ λοιπὸν ὀφείλεις εἰδέναι, ὅτι τὸ μὲν οἰνηγὸν μέτρον ὀφείλει εἶναι χωρήσεως λιτρῶν λ′ ἤγουν μινῶν ι′ τριλίτρων, τὸ δὲ ἐλαϊκὸν χωρήσεως λιτρῶν λβ′ μετὰ τοῦ ῥουσίου οἴνου, ὡς εἴρηται, τὸ δὲ καρελαϊκὸν λιτρῶν λς′.

Περὶ τοῦ ἐξάμου τῆς χωρήσεως τῶν πλοίων.

Ὀφείλεις ἀπὸ τῆς πρῴρας ἄχρι τῆς πρύμνης εἴτε τὸ ἅπαν μῆκος καὶ εὖρος τοῦ πλοίου ὑποστρῶσαι κατορδίνως κοῦφα συγκουφαρικά, ὅσα δηλαδὴ εὑρεθῇ χωροῦν τὸ μετρούμενον πλοῖον· εἶτα θεῖναι καὶ πρὸς τὸ ὕψος τοῦ τοιούτου πλοίου ἄχρι δηλονότι τῶν ζυγῶν αὐτοῦ, ἐν οἷς ἐπίκεινται τὰ τα-

14 οἰνηγὸν] ὀνηγὸν W - 18, 19 ἀμφ.] ἀμφο^τρ′ W - 23 post λ′ in W deleta sunt μετὰ τοῦ ῥουσίου οἴνου ὡς εἴρηται - 25 καρελαϊκὸν] καρέλαιον W - 31 ἐπίκεινται] ἐπέκειται W

